$= A\Gamma^2 : EB^2$.[2]) et $A\Gamma$ aequalis est radio N.[3]) quare ut radius circuli N quadratus ad oc est ut circulus N ad circulum circum dia- BZ descriptum [Eucl. XII, 2], ita $K\Delta$ ad $A\Theta$, $K\Delta$ ad altitudinem coni N. conus igitur N, sphaera, aequalis est rhombo solido $B\Delta ZK$.[4]) [5]) conus $B\Delta Z$ aequalis est segmento sphaerae u. p. 198, 20 sqq.]. itaque qui relinquitur, co- KZ aequalis est segmento sphaerae BAZ.

Ex eius adnotatione comperimus, Archimedem scrip- $\tau\omega\varsigma$ ἡ AE lin. 4; ὑπὸ τῶν $K\Theta\Delta$, οὕτως lin. 5.
Nam $AE : EB = EB : E\Gamma$ (Zeitschr. f. Math., hist. h. p. 181 nr. 16); tum u. Eucl. VI, 17.
Sit enim diametrus circuli N d. erit ex Eucl. XII, 2: $\Gamma Z = d^2 : A\Gamma^2$; sed $N = 4AB\Gamma Z$ (I, 33); itaque

$$d^2 = 4A\Gamma^2,\ d = 2A\Gamma.$$

Nam sint coni, ex quibus constat rhombus, k_1, k_2. ex ione supra p. 204, 11 sq. demonstrata adparet, conum N m esse cono (k), cuius basis sit circulus circum BZ de-, altitudo autem $K\Delta$ (I lemma 4 p. 82); iam $k : k_1 : k_2 = K\Delta : KE : E\Delta$ (I lemm. 1 p. 80), $= KE + E\Delta$; tum u. Quaest. Arch. p. 48; cfr. p. 199

ῶν lin. 24 h. e. conorum, ex quibus constat rhombus.

---

addit Torellius: τῷ ἐκ τοῖν κώνοιν συγκειμένῳ τοῖν $B\Delta Z$, „ex conis bdf et bkf composito" Cr.

γ'.

Τρίτον ἦν πρόβλημα τόδε· τὴν δοθεῖσαν σφαῖραν ἐπιπέδῳ τεμεῖν, ὅπως αἱ τῶν τμημάτων ἐπιφάνειαι πρὸς ἀλλήλας λόγον ἔχωσιν τὸν αὐτὸν τῷ δοθέντι. γεγονέτω, καὶ ἔστω τῆς σφαίρας μέγιστος κύκλος ὁ ΑΔΒΕ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΒ. καὶ ἐκβεβλήσθω πρὸς τὴν ΑΒ ἐπίπεδον ὀρθόν, καὶ ποιείτω τὸ ἐπίπεδον ἐν τῷ ΑΔΒΕ κύκλῳ τομὴν τὴν ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ, ΒΔ.

ἐπεὶ οὖν λόγος ἐστὶ τῆς ἐπιφανείας τοῦ ΔΑΕ τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ΔΒΕ τμήματος δοθείς, ἀλλὰ τῇ ἐπιφανείᾳ τοῦ ΔΑΕ τμήματος ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΑΔ, τῇ δὲ ἐπιφανείᾳ τοῦ ΔΒΕ τμήματος ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ ΔΒ, ὡς δὲ οἱ εἰρημένοι κύκλοι πρὸς ἀλλήλους, οὕτως τὸ ἀπὸ ΑΔ πρὸς τὸ ἀπὸ ΔΒ, τουτέστιν ἡ ΑΓ πρὸς ΓΒ, λόγος ἄρα τῆς ΑΓ πρὸς ΓΒ δοθείς. ὥστε δοθέν ἐστι τὸ Γ σημεῖον. καί ἐστι τῇ ΑΒ πρὸς ὀρθὰς ἡ ΔΕ· θέσει ἄρα καὶ τὸ διὰ τῆς ΔΕ ἐπίπεδον.

συντεθήσεται δὲ οὕτως· ἔστω σφαῖρα, ἧς μέγιστος κύκλος ὁ ΑΒΔΕ, καὶ διάμετρος ἡ ΑΒ. ὁ δὲ δοθεὶς λόγος ὁ τῆς Ζ πρὸς Η. καὶ τετμήσθω ἡ ΑΒ κατὰ τὸ

---

1. δ' Torellius. 3. τεμεῖν] τιμ cum comp. ιν uel ην F. 5. φαιρας F. 12. δοθείς om. F; corr. Torellius. 14. ΑΔ, τῇ δὲ ἐπιφανείᾳ τοῦ ΔΒΕ τμήματος ἴσος ἐστὶ κύκλος, οὗ ἡ ἐκ τοῦ κέντρου ἴση ἐστὶ τῇ lin. 15 om. F; suppleuit ed. Basil. 19. σημεῖον] syllab. μειον in rasura F. 22. ΑΔΒΕ Torellius.

III.

um problema hoc erat: datam sphaeram plano ta ut superficies segmentorum inter se ratioam habeant.[1])

et sit $A\Delta BE$ circulus maximus sphaerae, et s eius AB. et ponatur planum ad AB lineam culare[2]), et faciat planum illud in circulo sectionem ΔE lineam, et ducantur $A\Delta$, $B\Delta$

quoniam data est ratio, quam habet supergmenti ΔAE ad superficiem segmenti ΔBE, rficiei segmenti ΔAE aequalis est circulus, lius aequalis est lineae $A\Delta$ [I, 43], superficiei egmenti ΔBE aequalis est circulus, cuius raualis est lineae ΔB [I, 42], et quam rationem quos commemorauimus, inter se habent, eam Δ^2 ad ΔB^2 [Eucl. XII, 2], hoc est $A\Gamma$ ad Eutocius], data igitur est ratio $A\Gamma : \Gamma B$.[3]) atum est Γ punctum [u. Eutocius]. et ΔE ad pendicularis est. itaque etiam planum per ΔE positione datum est.


ponetur autem hoc modo. sit sphaera, cuius maximus sit $AB\Delta E$, et diametrus AB. et data it $Z:H$. et secetur AB in Γ puncto ita, ut

1) Genuina forma exstat περὶ ἑλίκων praef.: τὰν δοθεῖσαν ἐπιπέδῳ τεμεῖν, ὥστε τὰ τμάματα τᾶς ἐπιφανείας τὸν α λόγον ἔχειν ποτ' ἄλλαλα. de ὅπως lin. 3 cfr. Quaest. . 70.

2) Solitum uerborum ordinem, quem restitui noluit Nizze: ν ὀρθὸν πρὸς τὴν AB (lin. 7) recipere non audeo proplem locum II, 5.

3) Lin. 18 scripserat Archimedes: δοθεὶς δὴ λόγος τῆς $A\Gamma$ B. hoc enim praebet Eutocius, nisi quod pro δή legi-

Γ, ὥστε εἶναι, ὡς τὴν *ΑΓ* πρὸς *ΒΓ*, οὕτως τ πρὸς *Η*. καὶ διὰ τοῦ *Γ* ἐπιπέδῳ τετμήσθω ἡ σ πρὸς ὀρθὰς τῇ *ΑΒ* εὐθείᾳ, καὶ ἔστω κοινὴ τ



ΔΕ, καὶ ἐπεζεύχθωσαν αἱ *ΑΔ*, *ΔΒ*. καὶ ἐκκείσ δύο κύκλοι οἱ *Θ*, *Κ*, ὁ μὲν *Θ* ἴσην ἔχων τὴν ἐ κέντρου τῇ *ΑΔ*, ὁ δὲ *Κ* τὴν ἐκ τοῦ κέντρου ἔχων τῇ *ΔΒ*. ἔστιν ἄρα ὁ μὲν *Θ* κύκλος ἴσος τ φανείᾳ τοῦ *ΔΑΕ* τμήματος, ὁ δὲ *Κ* τοῦ *ΔΒΕ* ματος. τοῦτο γὰρ προδέδεικται ἐν τῷ πρώτῳ β καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ *ΑΔΒ*, καὶ κάθετος ἔστιν, ὡς ἡ *ΑΓ* πρὸς *ΓΒ*, τουτέστιν ἡ *Ζ* πρὸς ἀπὸ *ΑΔ* πρὸς τὸ ἀπὸ *ΔΒ*, τουτέστι τὸ ἀπὸ τ τοῦ κέντρου τοῦ *Θ* κύκλου πρὸς τὸ ἀπὸ τῆς ἐ κέντρου τοῦ *Κ* κύκλου, τουτέστιν ὁ *Θ* κύκλος τὸν *Κ* κύκλον, τουτέστιν ἡ ἐπιφάνεια τοῦ *ΔΑΕ* ματος πρὸς τὴν ἐπιφάνειαν τοῦ *ΔΒΕ* τμήματ σφαίρας.

10. ὀρθή] Hauber; δοθεῖσα F, uulgo.

sit $A\Gamma : B\Gamma = Z : H$ [Eucl. VI, 10]. et per Γ punctum sphaera secetur plano ad AB lineam perpendiculari, et communis[1]) sectio sit ΔE, et ducantur $A\Delta$, ΔB. et ponantur duo circuli Θ, K, ita ut Θ radium lineae $A\Delta$ aequalem habeat, K autem lineae ΔB. itaque Θ circulus aequalis est superficiei segmenti ΔAE [I, 43], K autem superficiei segmenti ΔBE [I, 42]. hoc enim in primo libro demonstratum est. et quoniam angulus $A\Delta B$ rectus est [Eucl. III, 31], et $\Gamma\Delta$ perpendicularis, erit $A\Gamma : \Gamma B$, hoc est $Z : H = A\Delta^2 : \Delta B^2$ [u. p. 206, 17], hoc est radius circuli Θ quadratus ad radium circuli K quadratum, hoc est $\Theta : K$ [Eucl. XII, 2], hoc est superficies segmenti ΔAE ad superficiem segmenti sphaerae ΔBE.

---

tur δέ, sed sine dubio errore librarii. fieri tamen potest, ut demonstrationis forma a transscriptore mutata sit.


1) Communis sectio sc. plani ad AB perpendicularis et circuli maximi $A\Delta BE$.

δ'.

Τὴν δοθεῖσαν σφαῖραν τεμεῖν, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν αὐτὸν τῷ δοθέντι.

ἔστω ἡ δοθεῖσα σφαῖρα ἡ ΑΒΓΔ. δεῖ δὴ αὐτὴν τεμεῖν ἐπιπέδῳ, ὥστε τὰ τμήματα τῆς σφαίρας πρὸς ἄλληλα λόγον ἔχειν τὸν δοθέντα.

τετμήσθω διὰ τῆς ΑΓ ἐπιπέδῳ. λόγος ἄρα τοῦ ΑΔΓ τμήματος τῆς σφαίρας πρὸς τὸ ΑΒΓ τμῆμα τῆς σφαίρας δοθείς. τετμήσθω δὲ ἡ σφαῖρα διὰ τοῦ κέντου, καὶ ἔστω ἡ τομὴ μέγιστος κύκλος ὁ ΑΒΓΔ, κέντρον δὲ τὸ Κ, καὶ διάμετρος ἡ ΔΒ. καὶ πεποιήσθω, ὡς μὲν συναμφότερος ἡ ΚΔΧ πρὸς ΔΧ, οὕτως ἡ ΡΧ πρὸς ΧΒ, ὡς δὲ συναμφότερος ἡ ΚΒΧ πρὸς ΒΧ, οὕτως ἡ ΛΧ πρὸς ΧΔ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΛ, ΛΓ, ΑΡ, ΡΓ. ἴσος ἄρα ἐστὶν ὁ μὲν ΑΛΓ κῶνος τῷ ΑΔΓ τμήματι τῆς σφαίρας, ὁ δὲ ΑΡΓ τῷ ΑΒΓ. λόγος ἄρα καὶ τοῦ ΑΛΓ κώνου πρὸς τὸν ΑΡΓ κῶνον δοθείς.



ὡς δὲ ὁ κῶνος πρὸς τὸν κῶνον, οὕτως ἡ ΛΧ πρὸς ΧΡ [ἐπείπερ τὴν αὐτὴν βάσιν ἔχουσιν τὸν περὶ διάμετρον τὴν ΑΓ κύκλον]. λόγος ἄρα καὶ τῆς ΛΧ πρὸς ΧΡ δοθείς. καὶ διὰ τὰ αὐτὰ τοῖς πρότερον διὰ τῆς

1. ε' Torellius. 2. τεμ cum comp. ιν uel ην F. 13.

IV.[1])

m sphaeram ita secare, ut segmenta sphaerae datam rationem habeant.[2])

sphaera sit $AB\Gamma\Delta$. oportet igitur eam plano :e, ut segmenta sphaerae inter se datam ratio-)eant.

ur plano per $A\Gamma$ posito. ratio igitur segmenti d segmentum sphaerae $AB\Gamma$ data est. secetur phaera per centrum [plano ad planum per $A\Gamma$ perpendiculari][3]), et sectio sit circulus maxi- $\Gamma\Delta$, centrum autem K, et diametrus ΔB. et $\Delta + \Delta X : \Delta X = PX : XB$ et

$$KB + BX : BX = \Delta X : X\Delta,$$

ntur lineae $A\Delta$, $A\Gamma$, AP, $P\Gamma$. itaque conus equalis est segmento sphaerae $A\Delta\Gamma$, et $AP\Gamma$ egmento $AB\Gamma$ [prop. 2]. quare data est ratio $AP\Gamma$. sed $A\Delta\Gamma : AP\Gamma = \Delta X : XP$.[5]) quare :atio $\Delta X : XP$ data est. et eodem modo, quo u. Eutocius], per constructionem erit

---

[1]) ranscriptor nescio qua de causa propositiones III et utauit; u. Neue Jahrb. Suppl. XI p. 392; cfr. Eutocius . IV et περὶ ἑλίκ. praef.

[2]) Genuinam huius propositionis formam habemus περὶ aef.: τὰν δοθεῖσαν σφαῖραν ἐπιπέδῳ τεμεῖν, ὥστε τὰ : αὐτᾶς ποτ' ἄλλαλα τὸν ταχθέντα λόγον ἔχειν.

[3]) Haec uerba Archimedes ipse uix omiserat.

[4]) Archimedeum est γεγονέτω; Quaest. Arch. p. 70.

[5]) Sequitur ex I lemm. 1 p. 80, cum basis eadem sit.

X Torellius. 14. KB, BX idem. 22. XP] hic uerba lin. 20 — πρὸς XP lin. 21 repetuntur in F. τὰ οῖς] ταυτοις F; ταῦτα τοῖς C* ed. Basil.; corr. B*.

κατασκευῆς, ὡς ἡ ΛΔ πρὸς ΚΔ, ἡ ΚΒ πρὸς ΒΡ, καὶ ἡ ΔΧ πρὸς ΧΒ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΡΒ πρὸς ΒΚ, ἡ ΚΔ πρὸς ΛΔ, συνθέντι, ὡς ἡ ΡΚ πρὸς ΚΒ, τουτέστι πρὸς ΚΔ, οὕτως ἡ ΚΛ πρὸς ΛΔ. καὶ ὅλη ἄρα ἡ ΡΛ πρὸς ὅλην τὴν ΚΛ ἐστιν, ὡς ἡ ΚΛ πρὸς ΛΔ. ἴσον ἄρα τὸ ὑπὸ τῶν ΡΛΔ τῷ ἀπὸ ΛΚ. ὡς ἄρα ἡ ΡΛ πρὸς ΛΔ, τὸ ἀπὸ ΚΛ πρὸς τὸ ἀπὸ ΛΔ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΛΔ πρὸς ΔΚ, οὕτως ἡ ΔΧ πρὸς ΧΒ, ἔσται ἀνάπαλιν καὶ συνθέντι, ὡς ΚΛ πρὸς ΛΔ, οὕτως ἡ ΒΔ πρὸς ΔΧ [καὶ ὡς ἄρα τὸ ἀπὸ ΚΛ πρὸς τὸ ἀπὸ ΛΔ, οὕτως τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ ΔΧ] [πάλιν ἐπεί ἐστιν, ὡς ἡ ΛΧ πρὸς ΔΧ, συναμφότερος ἡ ΚΒ, ΒΧ πρὸς ΒΧ, διελόντι, ὡς ἡ ΛΔ πρὸς ΔΧ, οὕτως ἡ ΚΒ πρὸς ΒΧ]. καὶ κείσθω τῇ ΚΒ ἴση ἡ ΒΖ. ὅτι γὰρ ἐκτὸς τοῦ Ρ πεσεῖται, δῆλον [καὶ ἔσται ὡς ἡ ΛΔ πρὸς ΔΧ, οὕτως ἡ ΖΒ πρὸς ΒΧ. ὥστε καὶ ὡς ἡ ΔΛ πρὸς ΛΧ, ἡ ΒΖ πρὸς ΖΧ]. ἐπεὶ δὲ λόγος ἐστὶ τῆς ΔΛ πρὸς ΛΧ δοθείς, καὶ τῆς ΡΛ ἄρα πρὸς ΛΧ λόγος ἐστὶ δοθείς. ἐπεὶ οὖν ὁ τῆς ΡΛ πρὸς ΛΧ λόγος συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει ἡ ΡΛ πρὸς ΛΔ, καὶ ἡ ΔΛ πρὸς ΛΧ, ἀλλ' ὡς μὲν ἡ ΡΛ πρὸς ΛΔ, τὸ ἀπὸ ΔΒ πρὸς τὸ ἀπὸ ΔΧ, ὡς δὲ ἡ ΔΛ πρὸς ΛΧ, οὕτως ἡ ΒΖ πρὸς ΖΧ, ὁ ἄρα τῆς ΡΛ πρὸς ΛΧ λόγος συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΒΔ πρὸς τὸ ἀπὸ

6. ΡΛ, ΛΔ Torellius. ἴσον ἄρα — ἀπὸ ΛΚ delet Hauber. 8. ΔΧ] ΒΧ F. 17. ΔΛ] ΡΧ Hauber. 18. ἄρα om. Torellius. Post ΛΧ idem addit: καὶ τῆς ΡΛ ἄρα πρὸς ΛΔ. 23. ΖΧ] ΒΧ FBC*.

$\Lambda\Delta : K\Delta = KB : BP = \Delta X : XB.$

am est $PB : BK = K\Delta : \Lambda\Delta$ [ἀνάπαλιν Eucl. ισμα], erit componendo [Eucl. V, 18] $PK : KB$, $PK : K\Delta = K\Lambda : \Lambda\Delta$. quare etiam

$K\Lambda = K\Lambda : \Lambda\Delta$ [Eucl. V, 12; Eutocius].

$\Lambda \times \Lambda\Delta = K\Lambda^2$ [Eucl. VI, 17].[1]) erit etiam $\Delta = K\Lambda^2 : \Lambda\Delta^2$ [u. Eutocius]. et quoniam $K = \Delta X : XB$, erit e contrario [Eucl. V, 7 componendo [Eucl. V, 18]

$$K\Lambda : \Lambda\Delta = B\Delta : \Delta X.$$[2])

itur $BZ = KB$; nam extra P punctum eam am esse, adparet [u. Eutocius]. sed quoniam $\Lambda : \Lambda X$ data est [u. Eutocius], erit igitur etiam $\Lambda : \Lambda X$ data.[3]) iam quoniam ratio $P\Lambda : \Lambda X$ ita est ex rationibus $P\Lambda : \Lambda\Delta$ et $\Delta\Lambda : \Lambda X$, $: \Lambda\Delta = \Delta B^2 : \Delta X^2$ [u. Eutocius][4]), et

$\Delta\Lambda : \Lambda X = BZ : ZX$ [u. not. 2],

ratio $P\Lambda : \Lambda X$ composita est ex rationibus

Ioc addit propter synthesin (p. 216, 15). nec hinc penιens ἄρα lin. 7, sed refertur ad proportionem

$$P\Lambda : K\Lambda = K\Lambda : \Lambda\Delta,$$

ntocio quoque adparet.

Sequentia uerba καὶ ὡς lin. 10 — ἀπὸ ΔX lin. 11 subunt, ut cognoscimus ex Eutocii adnotatione: ὡς δὲ τὸ Λ πρὸς τὸ ἀπὸ $\Lambda\Delta$, οὕτως τὸ ἀπὸ $B\Delta$ πρὸς τὸ ἀπὸ ΔX· γάρ, ὡς ἡ $K\Lambda$ πρὸς $\Lambda\Delta$, ἡ $B\Delta$ πρὸς ΔX. sed etiam ι uerba πάλιν lin. 12 — πρὸς BX lin. 14 et καὶ ἔσται — πρὸς ZX lin. 17 delenda sunt. nam ut adpareat, n $\Delta\Lambda : \Lambda X$ datam esse, Eutocius prius demonstrat $X = \Lambda\Delta : \Lambda X$, quod non fecisset, si iam apud Archiipsum demonstrationem inuenisset.

Genuinam huius loci formam praebet Eutocius: ἐπεὶ δὲ στὶ τῆς $\Delta\Lambda$ πρὸς ΛX δοθείς, καὶ τῆς $P\Lambda$ πρὸς ΛX, καὶ ἄρα πρὸς $\Lambda\Delta$ λόγος ἐστὶ δοθείς.

Archimedes scripserat lin. 21: ἀλλ' ὡς μὲν ἡ $P\Lambda$ πρὸς ϑείχϑη τὸ ἀπὸ $B\Delta$. praeterea p. 214 lin. 1: γεγονέτω.

ΔΧ, καὶ ἡ *ΒΖ* πρὸς *ΖΧ*. πεποιήσθω δὲ ὡς ἡ *Ρ*[illegible] πρὸς *ΔΧ*, ἡ *ΒΖ* πρὸς *ΖΘ*. λόγος δὲ τῆς *ΡΔ* πρὸ[illegible] *ΔΧ* δοθείς. λόγος ἄρα καὶ τῆς *ΖΒ* πρὸς *ΖΘ* δο[illegible]θείς. δοθεῖσα δὲ ἡ *ΒΖ*· ἴση γάρ ἐστι τῇ ἐκ το[illegible] κέντρου· δοθεῖσα ἄρα καὶ ἡ *ΖΘ*. καὶ ὁ τῆς *Β*[illegible] ἄρα λόγος πρὸς *ΖΘ* συνῆπται ἔκ τε τοῦ, ὃν ἔχει [illegible] ἀπὸ *ΒΔ* πρὸς τὸ ἀπὸ *ΔΧ*, καὶ ἡ *ΒΖ* πρὸς *ΖΧ*. ἀλ[illegible] ὁ *ΒΖ* πρὸς *ΖΘ* λόγος συνῆπται ἔκ τε τοῦ τῆς *Β*[illegible] πρὸς *ΖΧ* καὶ τοῦ τῆς *ΖΧ* πρὸς *ΖΘ* [κοινὸς ἀφῃρήσθ[illegible] ὁ τῆς *ΒΖ* πρὸς *ΖΧ*]. λοιπὸν ἄρα ἐστὶν ὡς τὸ ἀπ[illegible] *ΒΔ*, τουτέστι δοθὲν πρὸς τὸ ἀπὸ *ΔΧ*, οὕτως ἡ *Χ*[illegible] πρὸς *ΖΘ*, τουτέστι πρὸς δοθέν. καί ἐστιν δοθεῖσα [illegible] *ΖΔ* εὐθεῖα. εὐθεῖαν ἄρα δοθεῖσαν τὴν *ΔΖ* τεμεῖ[illegible] δεῖ κατὰ τὸ *Χ* καὶ ποιεῖν, ὡς τὴν *ΧΖ* πρὸς δοθεῖσα[illegible] [τὴν *ΖΘ*], οὕτως τὸ δοθὲν [τὸ ἀπὸ *ΒΔ*] πρὸς τὸ ἀπ[illegible] *ΔΧ*. τοῦτο οὕτως ἁπλῶς μὲν λεγόμενον ἔχει διορι[illegible]μόν, προστιθεμένων δὲ τῶν προβλημάτων τῶν ἐνθάδ[illegible] ὑπαρχόντων [τουτέστι τοῦ τε διπλασίαν εἶναι τὴν *Δ*[illegible] τῆς *ΒΖ* καὶ τοῦ μείζονα τῆς *ΖΘ* τὴν *ΖΒ*, ὡς κατὰ τὴν ἀνάλυσιν] οὐκ ἔχει διορισμόν. καὶ ἔσται τὸ πρό-βλημα τοιοῦτον· δύο δοθεισῶν εὐθειῶν τῶν *ΒΔ*, *ΒΖ*, καὶ διπλασίας οὔσης τῆς *ΒΔ* τῆς *ΒΖ*, καὶ σημείου ἐπὶ τῆς *ΒΖ* τοῦ *Θ*, τεμεῖν τὴν *ΔΒ* κατὰ τὸ *Χ* καὶ ποιεῖν, ὡς τὸ ἀπὸ *ΒΔ* πρὸς τὸ ἀπὸ *ΔΧ*, τὴν *ΧΖ* πρὸς *ΖΘ*. ἑκάτερα δὲ ταῦτα ἐπὶ τέλει ἀναλυθήσεταί τε καὶ συντεθήσεται.

συντεθήσεται δὲ τὸ πρόβλημα οὕτως· ἔστω ὁ δο-θεὶς λόγος ὁ τῆς *Π* πρὸς *Σ*, μείζονος πρὸς ἐλάσσονα.

2. δέ] δή Torellius. 8. συνῆπται] συνηπτε F; fortasse συνῆπται καί. 13. εὐθεῖαν ἄρα] scripsi; παρα per comp. F, uulgo; καὶ δή uel ἄρα Torellius. 19. τῆς] (alt.) scripsi; την F, uulgo. τήν] της F per comp., uulgo; τὴν ΒΖ τῆς ΖΘ

Γ^2 et $BZ : ZX$. fiat[1]) autem

$$PA : AX = BZ : Z\Theta.$$

m $PA : \Delta X$ data est; itaque etiam ratio data. sed etiam BZ data est; radio enim est. quare etiam $Z\Theta$ data. itaque etiam $: Z\Theta$ composita est ex rationibus $B\Delta^2 : \Delta X^2$ ZX. sed eadem ratio etiam ex rationibus et $ZX : Z\Theta$ composita est.[2]) itaque quod r $B\Delta^2$, hoc est spatium datum, ad ΔX^2 eam habet, quam XZ ad $Z\Theta$, hoc est ad datam ı. Eutocius]. et data est linea $Z\Delta$. datam eam ΔZ secare oportet in puncto X, ita ut ; XZ ad lineam datam, ita datum spatium hoc si ita indefinite proponitur, determinatio- et, sed adiunctis condicionibus, quae hoc loco determinationem non habet. et erit problema li: datis duabus lineis $B\Delta$ et BZ, quarum lo maior est linea BZ, et puncto Θ in linea am ΔB in puncto X ita secare, ut fiat

$$B\Delta^2 : \Delta X^2 = XZ : Z\Theta.$$

utrumque in fine et resoluetur et componetur.[3]) ponetur autem problema hoc modo: data ratio e Π ad Σ, maioris ad minorem, et sphaera

---

fr. p. 213 not. 4.

x Eutocio concludi posse uidetur, uerba κοινός lin. 9 ZX lin. 10 subditiua esse.

quod hic pollicetur supplementum, iam Dioclis et Dio- temporibus interciderat, sed Eutocius putat, se ipsam lis resolutionem repperisse, neque iniuria (Quaest. Arch. liam totius problematis resolutionem dedit Hugenius: chanica cet. (Lugd. Batau. 1751. 4) II p. 388—91.

, 23. ΔB] AB F. 27. δέ] scripsi; δή F, uulgo. ιος] scripsi; μειζον F, uulgo.

καὶ δεδόσθω τις σφαῖρα, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τοῦ κέντρου. καὶ ἔστω τομὴ ὁ $ΑΒΓΔ$ κύκλος, καὶ διάμετρος ἔστω ἡ $ΒΔ$, κέντρον δὲ τὸ $Κ$. καὶ τῇ $ΚΒ$ ἴση κείσθω ἡ $ΒΖ$, καὶ τετμήσθω ἡ $ΒΖ$ κατὰ τὸ $Θ$, ὥστε εἶναι ὡς τὴν $ΘΖ$ πρὸς $ΘΒ$, τὴν $Π$ πρὸς $Σ$. καὶ ἔτι τετμήσθω ἡ $ΒΔ$ κατὰ τὸ $Χ$, ὥστε εἶναι ὡς τὴν $ΧΖ$ πρὸς $ΘΖ$, τὸ ἀπὸ $ΒΔ$ πρὸς τὸ ἀπὸ $ΔΧ$, καὶ διὰ τοῦ $Χ$ ἐπίπεδον ἐκβεβλήσθω ὀρθὸν πρὸς τὴν $ΒΔ$. λέγω, ὅτι τὸ ἐπίπεδον τοῦτο τεμεῖ τὴν σφαῖραν, ὥστε εἶναι, ὡς τὸ μεῖζον τμῆμα πρὸς τὸ ἔλασσον, τὴν $Π$ πρὸς $Σ$. πεποιήσθω γὰρ ὡς μὲν συναμφότερος ἡ $ΚΒΧ$ πρὸς $ΒΧ$, οὕτως ἡ $ΛΧ$ πρὸς $ΔΧ$, ὡς δὲ συναμφότερος ἡ $ΚΔΧ$ πρὸς $ΧΔ$, ἡ $ΡΧ$ πρὸς $ΧΒ$, καὶ ἐπεζεύχθωσαν αἱ $ΑΛ$, $ΛΓ$, $ΑΡ$, $ΡΓ$. ἔσται δὴ διὰ τὴν κατασκευήν, ὡς ἐδείξαμεν ἐν τῇ ἀναλύσει, ἴσον τὸ ὑπὸ $ΡΛΔ$ τῷ ἀπὸ $ΛΚ$· καὶ ὡς ἡ $ΚΛ$ πρὸς $ΛΔ$ ἡ $ΒΔ$ πρὸς $ΔΧ$. ὥστε καὶ ὡς τὸ ἀπὸ $ΚΛ$ πρὸς τὸ ἀπὸ $ΛΔ$, τὸ ἀπὸ $ΒΔ$ πρὸς τὸ ἀπὸ $ΔΧ$. καὶ ἐπεὶ τὸ ὑπὸ τῶν $ΡΛΔ$ τῷ ἀπὸ $ΛΚ$ ἐστιν ἴσον [ἔστιν, ὡς ἡ $ΡΛ$ πρὸς $ΛΔ$, τὸ ἀπὸ $ΛΚ$ πρὸς τὸ ἀπὸ $ΛΔ$], ἔσται ἄρα καὶ ὡς ἡ $ΡΛ$ πρὸς $ΛΔ$, τὸ ἀπὸ $ΒΔ$ πρὸς τὸ ἀπὸ $ΔΧ$, τουτέστιν ἡ $ΧΖ$ πρὸς $ΖΘ$. καὶ ἐπεί ἐστιν, ὡς συναμφότερος ἡ $ΚΒΧ$ πρὸς $ΒΧ$, οὕτως ἡ $ΛΧ$ πρὸς $ΧΔ$, ἴση δέ ἐστιν ἡ $ΚΒ$ τῇ $ΒΖ$, ἔσται ἄρα καὶ ὡς ἡ $ΖΧ$ πρὸς $ΧΒ$, οὕτως ἡ $ΛΧ$ πρὸς $ΧΔ$. ἀναστρέψαντι, ὡς ἡ $ΧΖ$ πρὸς $ΖΒ$, οὕτως ἡ $ΧΛ$ πρὸς $ΛΔ$. ὥστε καὶ ὡς ἡ $ΛΔ$ πρὸς

8. τὴν] scripsi; το F, uulgo. 11. $ΚΒ$, $ΒΧ$ Torellius, ut lin. 23. 13. $ΚΔ$, $ΔΧ$ idem. 15. τό] τω F. 16. $ΡΛ$, $ΛΔ$ Torellius, ut lin. 19. 17. Post $ΚΛ$ repetit F: προς $ΛΔ$ η $ΒΔ$ προς $ΔΧ$ ωστε και ως το απο $ΚΛ$ προς $ΛΔ$ η $ΒΔ$ προς $ΔΧ$ ωστε και ως το απο $ΚΛ$; similia BC*. 22. ὡς] σ supra scriptum manu 1 F. 25. $ΛΧ$] $ΔΧ$ F; corr. Torellius.

data sit, et secetur plano per centrum posito, et sectio sit circulus $AB\Gamma\Delta$, cuius diametrus sit $B\Delta$, centrum autem K. et ponatur BZ lineae KB aequalis, et secetur BZ in puncto Θ ita, ut sit $\Theta Z : \Theta B = \Pi : \Sigma$. porro secetur linea $B\Delta$ in puncto X ita, ut sit

$$XZ : \Theta Z = B\Delta^2 : \Delta X^2,$$

et per X ducatur planum ad $B\Delta$ perpendiculare. dico, hoc planum sphaeram ita secaturum esse, ut maius segmentum ad minus eam rationem habeat, quam $\Pi : \Sigma$. fiat[1]) enim $KB + BX : BX = \Lambda X : \Delta X$ et

$$K\Delta + \Delta X : X\Delta = PX : XB,$$

et ducantur lineae $A\Lambda$, $\Lambda\Gamma$, AP, $P\Gamma$. erit igitur propter constructionem, ut in analysi demonstrauimus [p. 212, 6], $P\Lambda \times \Lambda\Delta = \Lambda K^2$, et

$$K\Lambda : \Lambda\Delta = B\Delta : \Delta X \text{ [p. 212, 9—10].}$$

quare etiam $K\Lambda^2 : \Lambda\Delta^2 = B\Delta^2 : \Delta X^2$; et quoniam

$$P\Lambda \times \Lambda\Delta = \Lambda K^2,$$

erit igitur etiam [$P\Lambda \times \Lambda\Delta : \Lambda\Delta^2$, hoc est]

$$P\Lambda : \Lambda\Delta = B\Delta^2 : \Delta X^2 = XZ : \Theta Z \text{ [ex hypothesi].}$$

et quoniam est $KB + BX : BX = \Lambda X : X\Delta$, et $KB = BZ$, erit igitur etiam $ZX : XB = \Lambda X : X\Delta$. et conuertendo [Eucl. V, 19 πόρισμα] $ZX : ZB = \Lambda X : \Lambda\Delta$.

1) Archimedes pro πεποιήσθω scripserat γεγονέτω lin. 11, et hoc habet Eutocius.

ΛΧ, οὕτως ἡ ΒΖ πρὸς ΖΧ. καὶ ἐπεί ἐστιν, ὡς ἡ Ρ πρὸς ΛΔ, οὕτως ἡ ΧΖ πρὸς ΖΘ, ὡς δὲ ἡ ΔΛ πρ ΛΧ, οὕτως ἡ ΒΖ πρὸς ΖΧ, καὶ δι' ἴσου ἐν τῇ τ ταραγμένῃ ἀναλογίᾳ, ὡς ἡ ΡΛ πρὸς ΛΧ, οὕτως ἡ Β πρὸς ΖΘ. καὶ ὡς ἄρα ἡ ΛΧ πρὸς ΧΡ, οὕτως ἡ Ζ πρὸς ΘΒ. ὡς δὲ ἡ ΖΘ πρὸς ΘΒ, οὕτως ἡ Π πρὸς καὶ ὡς ἄρα ἡ ΛΧ πρὸς ΧΡ, τουτέστιν ὁ ΑΓΛ κῶν πρὸς τὸν ΑΡΓ κῶνον, τουτέστι τὸ ΑΔΓ τμῆμα τ σφαίρας πρὸς τὸ ΑΒΓ τμῆμα τῆς σφαίρας, οὕτως Π πρὸς Σ.

ε'.

Τῷ δοθέντι τμήματι σφαίρας ὅμοιον καὶ ἄλλῳ τ δοθέντι ἴσον τὸ αὐτὸ συστήσασθαι.

ἔστω τὰ δύο δοθέντα τμήματα σφαίρας τὰ ΑΒ ΕΖΗ. καὶ ἔστω τοῦ μὲν ΑΒΓ τμήματος βάσις ὁ πε διάμετρον τὴν ΑΒ κύκλος, κορυφὴ δὲ τὸ Γ σημεῖο τοῦ δὲ ΕΖΗ βάσις ὁ περὶ διάμετρον τὴν ΕΖ, κορυφ δὲ τὸ Η σημεῖον. δεῖ δὴ εὑρεῖν τμῆμα σφαίρας, ἔσται τῷ μὲν ΑΒΓ τμήματι ἴσον, τῷ δὲ ΕΖ ὅμοιον.

εὑρήσθω, καὶ ἔστω τὸ ΘΚΛ, καὶ ἔστω αὐτοῦ β σις μὲν ὁ περὶ διάμετρον τὴν ΘΚ κύκλος, κορυφὴ δ τὸ Λ σημεῖον. ἔστωσαν δὴ καὶ κύκλοι ἐν ταῖς σφα ραις οἱ ΑΝΒΓ, ΘΞΚΛ, ΕΟΖΗ, διάμετροι δὲ αὐτῶ πρὸς ὀρθὰς ταῖς βάσεσιν τῶν τμημάτων αἱ ΓΝ, Λ ΗΟ. καὶ ἔστω κέντρα τὰ Π, Ρ, Σ. καὶ πεποιήσθ

---

8. κῶνον] κωνον προς (comp.) F. ΑΔΓ] ΑΛΓ F; corr. To rellius. 11. ς' Torellius. 12. ἄλλῳ] αλλο F; corr. AB. 2 ΗΟ] ΗΘ F; corr. Torellius.

am $A\Delta : AX = BZ : ZX$ [Eucl. V, 7 πόρ.].
ım est

$A\Delta = XZ : Z\Theta$, et $A\Delta : AX = BZ : ZX$,
ˌequali in perturbata ratione [Eucl. V, 21; Eu-
$'A : AX = BZ : Z\Theta$, et $AX : XP = Z\Theta : \Theta B$.[1])
: $\Theta B = \Pi : \Sigma$ [ex hypothesi]. quare etiam
, hoc est conus $A\Gamma A$ ad conum $AP\Gamma$ [p. 211
hoc est segmentum sphaerae $A\Delta\Gamma$ ad seg-
sphaerae $AB\Gamma$ [prop. 2] $= \Pi : \Sigma$.

V.


ıentum sphaerae construere dato segmento
simile et alii dato idem aequale.[2])
segmenta sphaerae data sint $AB\Gamma$, EZH. et
i $AB\Gamma$ basis sit circulus circum diametrum
criptus, uertex autem Γ punctum, segmenti
EZH basis circulus circum diametrum EZ
us, uertex autem punctum H. oportet igitur
ıum sphaerae reperiri segmento $AB\Gamma$ aequale
segmento EZH simile.
riatur, et sit ΘKA, et basis eius sit circulus
diametrum ΘK descriptus, uertex autem punc-
praeterea sint circuli [maximi][3]) sphaerarum
, $\Theta\Xi KA$, $EOZH$, et diametri eorum ad bases
torum perpendiculares ΓN, $A\Xi$, HO, et centra

Nam conuertendo $PA : XP = BZ : B\Theta$, et uicissim
$' = XP : B\Theta = AX : Z\Theta$; unde uicissim
$$AX : XP = Z\Theta : B\Theta.$$

Hoc problema antea latius proposuerat: τὸ δοθὲν τμᾶμα
τῷ δοθέντι τμάματι σφαίρας ὁμοιῶσαι; praef. περὶ

Archimedes sine dubio scripserat μέγιστοι κύκλοι lin. 23,

ὡς μὲν συναμφότερος ἡ ΠΝ, ΝΤ πρὸς τὴν ΝΤ, τως ἡ ΧΤ πρὸς ΤΓ, ὡς δὲ συναμφότερος ἡ ΡΞ, ι



πρὸς ΞΥ, οὕτως ὁ ΨΥ πρὸς ΥΛ, ὡς δὲ συναμφ τερος ἡ ΣΟ, ΟΦ πρὸς ΟΦ, οὕτως ἡ ΩΦ πρὸς Φ. καὶ νοείσθωσαν κῶνοι, ὧν βάσεις μέν εἰσιν οἱ πε διαμέτρους τὰς ΑΒ, ΘΚ, ΕΖ κύκλοι, κορυφαὶ δὲ Χ, Ψ, Ω σημεῖα. ἔσται δὴ ἴσος ὁ μὲν ΑΒΧ κῶν τῷ ΑΒΓ τμήματι τῆς σφαίρας, ὁ δὲ ΨΘΚ τῷ ΘΚ. ὁ δὲ ΕΩΖ τῷ ΕΗΖ. τοῦτο γὰρ δέδεικται. καὶ ἐπ ἴσον ἐστὶ τὸ ΑΒΓ τμῆμα τῆς σφαίρας τῷ ΘΚΛ τμ ματι, ἴσος ἄρα καὶ ὁ ΑΧΒ κῶνος τῷ ΨΘΚ κώ [τῶν δὲ ἴσων κώνων ἀντιπεπόνθασιν αἱ βάσεις τ ὕψεσιν]. ἔστιν ἄρα, ὡς ὁ κύκλος ὁ περὶ διάμετρον τ ΑΒ πρὸς τὸν κύκλον τὸν περὶ διάμετρον τὴν Θ

3. ΥΛ] Υ in rasura F. 4. ΩΦ] ΟΦ F; corr. manus

Π, P, Σ. et fiat[1])

$$\Pi N + NT : NT = XT : T\Gamma$$

et

$$P\Xi + \Xi \Upsilon : \Xi \Upsilon = \Psi \Upsilon : \Upsilon \Lambda$$

et

$$\Sigma O + O\Phi : O\Phi = \Omega\Phi : \Phi H.$$

et fingantur coni, quorum bases sint circuli circum AB, ΘK, EZ descripti, uertices autem puncta X, Ψ, Ω. erit igitur conus ABX segmento sphaerae $AB\Gamma$ aequalis, conus $\Psi\Theta K$ segmento $\Theta K\Lambda$, conus $E\Omega Z$ segmento EHZ. hoc enim demonstratum est [prop. 2]. et quoniam segmentum sphaerae $AB\Gamma$ segmento $\Theta K\Lambda$ aequale est, etiam conus AXB cono $\Psi\Theta K$ aequalis est. itaque circulus circum diametrum AB descriptus ad circulum circum diametrum ΘK descriptum eam

---

sed omissionem transscriptori imputare malim, quam cum Nizzio μέγιστοι addere; Quaest. Arch. p. 76.

1) πεποιήσθω p. 218 lin. 26 pro genuino γεγονέτω.

---

5. βασις F; corr. B. 6. διαμετρον F; corr. B. τάς] την F; corr. B*. 7. ἔσται] per comp. F. δή] scripsi; δε F, uulgo. 12. βασ cum comp. ης F.

οὕτως ἡ ΨΥ πρὸς ΧΤ. ὡς δὲ ὁ κύκλος πρὸς τὸν κύκλον, τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΘΚ. ὡς ἄρα τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΘΚ, οὕτως ἡ ΨΥ πρὸς ΧΤ. καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΕΖΗ τμῆμα τῷ ΘΚΛ τμήματι, ὅμοιος ἄρα ἐστὶ καὶ ὁ ΕΖΩ κῶνος τῷ ΨΘΚ κώνῳ [τοῦτο γὰρ δειχθήσεται]. ἔστιν ἄρα, ὡς ἡ ΩΦ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΨΥ πρὸς ΘΚ. λόγος δὲ τῆς ΩΦ πρὸς τὴν ΕΖ δοθείς. λόγος ἄρα καὶ τῆς ΨΥ πρὸς την ΘΚ δοθείς. ὁ αὐτὸς ἔστω ὁ τῆς ΧΤ πρὸς Δ. καί ἐστι δοθεῖσα ἡ ΧΤ· δοθεῖσα ἄρα καὶ ἡ Δ. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΨΥ πρὸς ΧΤ, τουτέστι τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΘΚ, οὕτως ἡ ΘΚ πρὸς Δ, κείσθω τῷ ἀπὸ ΘΚ ἴσον τὸ ὑπὸ ΑΒ, ϛ. ἔσται ἄρα καί, ὡς τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΘΚ, οὕτως ἡ ΑΒ πρὸς τὴν ϛ. ἐδείχθη δὲ καί, ὡς τὸ ἀπὸ ΑΒ πρὸς τὸ ἀπὸ ΘΚ, οὕτως ἡ ΘΚ πρὸς Δ. καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς ΘΚ, οὕτως ἡ ϛ πρὸς Δ. ὡς δὲ ἡ ΑΒ πρὸς ΘΚ, οὕτως ἡ ΘΚ πρὸς ϛ [διὰ τὸ ἴσον εἶναι τὸ ἀπὸ ΘΚ τῷ ὑπὸ τῶν ΑΒ, ϛ]. ὡς ἄρα ἡ ΑΒ πρὸς ΘΚ, οὕτως ἡ ΘΚ πρὸς ϛ, καὶ ἡ ϛ πρὸς Δ. δύο ἄρα δοθεισῶν τῶν ΑΒ, Δ δύο μέσαι κατὰ τὸ συνεχὲς ἀνάλογόν εἰσιν αἱ ΘΚ, ϛ.

συντεθήσεται δὲ τὸ πρόβλημα οὕτως· ἔστω, ᾧ μὲν δεῖ ἴσον τμῆμα συστήσασθαι, τὸ ΑΒΓ, ᾧ δὲ ὅμοιον, τὸ ΕΖΗ. καὶ ἔστωσαν μέγιστοι κύκλοι τῶν σφαιρῶν οἱ ΑΒΓΝ, ΕΗΖΟ, διάμετροι δὲ αὐτῶν αἱ ΓΝ, ΗΟ, καὶ κέντρα τὰ Π, Σ. καὶ πεποιήσθω, ὡς μὲν συναμφότερος ἡ ΠΝ, ΝΤ πρὸς ΝΤ, οὕτως ἡ ΧΤ πρὸς

2. τὸ ἀπό] οὕτως τὸ ἀπό Torellius. 4. τῷ] τα F. 5. ὅμοιος] ομοιως F; corr. ABC. 9. ΘΚ] ΘΚ ω F; corr. ed. Basil. 13. ἔσται] per comp. F. 19. ΑΒ] ΔΒ F. 22. δέ] scripsi; δη F, uulgo. 25. ΕΗΖΟ] scripsi; ΕΗΖΩ F; ΗΕΟΖ uulgo. ΗΟ] ΗΘ F; corr. BCD.

habet, quam $\Psi T : XT$ [I lemm. 4 p. 82]. irculus ad circulum, ita $AB^2 : \Theta K^2$ [Eucl. itaque $AB^2 : \Theta K^2 = \Psi T : XT$. et quoniam m EZH segmento $\Theta K \Lambda$ simile est, etiam $Z\Omega$ cono $\Psi\Theta K$ similis erit [u. Eutocius]. $\Phi : EZ = \Psi T : \Theta K$ [u. Eutocius; cfr. I lemm. 5 ed ratio $\Omega\Phi : EZ$ data est [u. Eutocius]. itan ratio $\Psi T : \Theta K$ data est. eadem sit ratio et data est linea XT [u. Eutocius]. quare linea data est. et quoniam est $\Psi T : XT$, $AB^2 : \Theta K^2 = \Theta K : \Delta$[1]), ponatur

$$AB \times \varsigma = \Theta K^2.$$

ır etiam $AB^2 : \Theta K^2 = AB : \varsigma$.[2]) sed demonest $AB^2 : \Theta K^2 = \Theta K : \Delta$. uicissim igitur , 16] $AB : \Theta K = \varsigma : \Delta$ [u. Eutocius].[3]) sed $\Gamma = \Theta K : \varsigma$ [Eucl. VI, 17]. itaque

$$AB : \Theta K = \Theta K : \varsigma = \varsigma : \Delta.$$

nter datas lineas AB, Δ duae mediae proporin proportione continua sunt ΘK, ς. [quare que datae sunt; prop. 1 p. 192, 23].

ponetur autem problema hoc modo. sit $AB\Gamma$ ıum, cui aequale segmentum construendum est, autem, cui simile construendum. et circuli sphaerarum sint $AB\Gamma N$, $EHZO$, et diametri ΓN, HO, et centra, Π, Σ. et fiat[4])

$$\Pi N + NT : NT = XT : T\Gamma$$

---

[1]) Est enim $\Psi T : \Theta K = XT : \Delta$; tum u. Eucl. V, 16; u.

[2]) Nam $AB^2 : \Theta K^2 = AB^2 : AB \times \varsigma = AB : \varsigma$.

[3]) Ex adnotatione eius adparet, Archimedem οὕτως lin. 17

πεποιήσθω ɔ: γεγονέτω (lin. 26).

ΤΓ, ὡς δὲ συναμφότερος ἡ *ΣΟΦ* πρὸς *ΟΦ*, ἡ *ΩΦ* πρὸς *ΦΗ*. ἴσος ἄρα ἐστὶν ὁ μὲν *ΧΑΒ* κῶνος τῷ *ΑΒΓ* τμήματι τῆς σφαίρας, ὁ δὲ *ΖΩΕ* τῷ *ΕΗΖ*. πεποιήσθω, ὡς ἡ *ΩΦ* πρὸς *ΕΖ*, οὕτως ἡ *ΧΤ* πρὸς *Δ* καὶ δύο δοθεισῶν εὐθειῶν τῶν *ΑΒ*, *Δ* δύο μέσαι ἀνάλογον εἰλήφθωσαν, αἱ *ΘΚ*, ϛ, ὥστε εἶναι ὡς τὴν *ΑΒ* πρὸς *ΘΚ*, οὕτως τὴν *ΚΘ* πρὸς ϛ, καὶ τὴν ϛ πρὸς *Δ*. καὶ ἐπὶ τῆς *ΘΚ* κύκλου τμῆμα ἐφεστάσθω τὸ *ΘΚΛ* ὅμοιον τῷ *ΕΖΗ* κύκλου τμήματι, καὶ ἀναπεπληρώσθω ὁ κύκλος, καὶ ἔστω αὐτοῦ διάμετρος ἡ *ΛΞ*. καὶ νοείσθω σφαῖρα, ἧς μέγιστος κύκλος ἐστὶν ὁ *ΛΘΞΚ*, κέντρον δὲ τὸ *Ρ*. καὶ διὰ τῆς *ΘΚ* ἐπίπεδον ὀρθὸν ἐκβεβλήσθω πρὸς τὴν *ΛΞ*. ἔσται δὴ τὸ τμῆμα τῆς σφαίρας τὸ ἐπὶ τὰ αὐτὰ τῷ *Λ* ὅμοιον τῷ *ΕΖΗ* τμήματι τῆς σφαίρας, ἐπειδὴ καὶ τῶν κύκλων τὰ τμήματα ἦν ὅμοια. λέγω δέ, ὅτι καὶ ἴσον ἐστὶ τῷ *ΑΒΓ* τμήματι τῆς σφαίρας. πεποιήσθω, ὡς συναμφότερος ἡ *ΡΞ*, *ΞΥ* πρὸς *ΞΥ*, οὕτως ἡ *ΨΥ* πρὸς *ΥΛ*. ἴσος ἄρα ὁ *ΨΘΚ* κῶνος τῷ *ΘΚΛ* τμήματι τῆς σφαίρας. καὶ ἐπειδὴ ὅμοιός ἐστιν ὁ *ΨΘΚ* κῶνος τῷ *ΖΩΕ* κώνῳ, ἔστιν ἄρα, ὡς ἡ *ΩΦ* πρὸς *ΕΖ*, τουτέστιν ἡ *ΧΤ* πρὸς *Δ*, οὕτως ἡ *ΨΥ* πρὸς *ΘΚ*. καὶ ἐναλλὰξ καὶ ἀνάπαλιν. ὡς ἄρα ἡ *ΨΥ* πρὸς *ΧΤ*, ἡ *ΘΚ* πρὸς *Δ*. καὶ ἐπειδὴ ἀνάλογόν εἰσιν αἱ *ΑΒ*, *ΚΘ*, ϛ, *Δ*, ἔστιν, ὡς τὸ ἀπὸ *ΑΒ* πρὸς τὸ ἀπὸ *ΘΚ*, ἡ *ΘΚ* πρὸς *Δ*. ὡς δὲ ἡ *ΘΚ* πρὸς *Δ*, ἡ *ΨΥ* πρὸς *ΧΤ*. καὶ ὡς ἄρα τὸ ἀπὸ *ΑΒ* πρὸς τὸ ἀπὸ *ΚΘ*, τουτέστιν ὁ περὶ διάμετρον

1. *ΤΓ*] *ΤV* (= *ΤΥ*?) F; sed fortasse *V* est γ. *ΣΟΦ*] *ΣΟ*, *ΟΦ* Torellius. *ΩΦ*] *ΟΦ* F; corr. BCD. 8. ἐφεστάσθω] scripsi; επεστασθω F, uulgo. 13. ἔσται] per comp. F. 14. *ΕΖΗΘ* F. 17. ὡς] γὰρ ὡς Nizze. 18. *ΨΥ*] *Υ* in ras. F. 24. *ΑΒ*] *ΑΘ* F; corr. Torellius.

$$\Sigma O + O\Phi : O\Phi = \Omega\Phi : \Phi H.$$

tur XAB segmento sphaerae $AB\Gamma$, conus gmento EHZ aequalis est [prop. 2]. fiat[1]) $= XT : \Delta$. et datis duabus lineis AB, Δ iiae proportionales sumantur ΘK, ϛ [prop. 1 3], ut sit $AB : \Theta K = \Theta K :$ ϛ $=$ ϛ $: \Delta$. et in construatur segmentum circuli $\Theta K\Lambda$ segmento nile [cfr. Eucl. III, 33 et III def. 11], et exirculus [Eucl. III, 25], et diametrus eius sit fingatur sphaera, cuius circulus maximus sit centrum autem P. et per ΘK lineam ducaım ad $\Lambda\Xi$ perpendiculare.[2]) erit igitur segsphaerae in eadem parte positum, in qua ıum, segmento sphaerae EZH simile, cum culorum segmenta similia sint. dico autem[3]), le esse etiam segmento sphaerae $AB\Gamma$. fiat[1]) $T : \Xi T = \Psi T : T\Lambda$. itaque conus $\Psi\Theta K$ est segmento sphaerae $\Theta K\Lambda$ [prop. 2]. et conus $\Psi\Theta K$ similis est cono $Z\Omega E$, erit Z, hoc est $XT : \Delta$ [ex hypothesi], $= \Psi T : \Theta K$ 9]. et uicissim [Eucl. V, 16]

$$[XT : \Psi T = \Delta : \Theta K]$$

ıtrario [Eucl. V, 7 πόρ.] $\Psi T : XT = \Theta K : \Delta$. iam proportionales sunt lineae AB, $K\Theta$, ϛ, Δ, $^2 : \Theta K^2 = \Theta K : \Delta$ [u. Eutocius]. sed

$$\Theta K : \Delta = \Psi T : XT.$$

tiam $AB^2 : K\Theta^2$, hoc est circulus circum dia-

---

1) :εποιήσθω lin. 4 et 17 ɔ: γεγονέτω.
2) De uerborum ordine lin. 12—13 cfr. p. 207 not. 2.
3) Fortasse scribendum: λέγω δή lin. 16.

τὴν *ΑΒ* κύκλος πρὸς τὸν περὶ διάμετρον τὴν *ΘΚ* κύκλον, οὕτως ἡ *ΨΥ* πρὸς τὴν *ΧΥ*. ἴσος ἄρα ἐστὶν ὁ *ΧΑΒ* κῶνος τῷ *ΨΘΚ* κώνῳ. ὥστε καὶ τὸ *ΑΒΓ* τμῆμα τῆς σφαίρας ἴσον ἐστὶ τῷ *ΘΚΛ* τμήματι τῆς σφαίρας. τῷ δοθέντι ἄρα τμήματι τῷ *ΑΒΓ* ἴσον καὶ ἄλλῳ τῷ δοθέντι ὅμοιον τῷ *ΕΖΗ* τὸ αὐτὸ συνέσταται τὸ *ΘΚΛ*.

ϛ'.

Δύο δοθέντων σφαίρας τμημάτων, εἴτε τῆς αὐτῆς εἴτε μή, εὑρεῖν τμῆμα σφαίρας, ὃ ἔσται ἑνὶ μὲν τῶν δοθέντων ὅμοιον, τὴν δὲ ἐπιφάνειαν ἕξει ἴσην τῇ τοῦ ἑτέρου τμήματος ἐπιφανείᾳ.

ἔστω τὰ δοθέντα τμήματα σφαιρικὰ κατὰ τὰς *ΑΒΓ*, *ΔΕΖ* περιφερείας. καὶ ἔστω, ᾧ μὲν δεῖ ὅμοιον εὑρεῖν, τὸ κατὰ τὴν *ΑΒΓ* περιφέρειαν, οὗ δὲ τὴν ἐπιφάνειαν ἴσην ἔχειν τῇ ἐπιφανείᾳ τὸ κατὰ τὴν *ΔΕΖ*. καὶ γεγενήσθω, καὶ ἔστω τὸ *ΚΛΜ* τμῆμα τῆς σφαίρας τῷ μὲν *ΑΒΓ* τμήματι ὅμοιον, τὴν δὲ ἐπιφάνειαν ἴσην ἐχέτω τῇ τοῦ *ΔΕΖ* τμήματος ἐπιφανείᾳ. καὶ νοείσθω τὰ κέντρα τῶν σφαιρῶν, καὶ δι' αὐτῶν ἐπίπεδα ἐκβεβλήσθω ὀρθὰ πρὸς τὰς τῶν τμημάτων βάσεις, καὶ ἐν μὲν ταῖς σφαίραις τομαὶ ἔστωσαν οἱ *ΚΛΜΝ*, *ΒΑΓΘ*, *ΕΖΗΔ* μέγιστοι κύκλοι, ἐν δὲ ταῖς βάσεσι τῶν τμημάτων αἱ *ΚΜ*, *ΑΓ*, *ΔΖ* εὐθεῖαι. διάμετροι δὲ τῶν σφαιρῶν πρὸς ὀρθὰς οὖσαι ταῖς *ΚΜ*, *ΑΓ*,

---

1. *τὴν ΑΒ κύκλος πρὸς τὸν περὶ διάμετρον*] om. F; corr. Torellius (et Cr.). 2. *κυκλος* F; corr. Torellius. 6. *αλλο* F; corr. ed. Basil.* 8. ζ' Torellius. 10. *ευρ* cum comp. *ιν* uel *ην* F. *ἑνί*] *ἐν* F; corr. B*. 17. *τμῆμα*] om. F; corr. Torellius. sed fortasse potius delenda sunt *τῆς σφαίρας*. 21. *ὀρθὰ πρός*] syllab. — *θα προς* in rasura F; uidetur fuisse *ορθαι*.

AB descriptus ad circulum circum ΘK de- [Eucl. XII, 2] $= \Psi Y : XY$. quare aequales i XAB, $\Psi\Theta K$ [I lemm. 4 p. 82]. itaque mentum sphaerae $AB\Gamma$ aequale est segmento taque inuentum est segmentum $\Theta K\Lambda$ dato $AB\Gamma$ aequale et idem alii segmento dato nile.

VI.

duobus segmentis sphaerae, siue eiusdem siue dem, segmentum sphaerae inuenire, quod al- rum simile sit, et superficiem superficiei al- gmenti aequalem habeat.[1]) — segmenta sphae- data in arcubus $AB\Gamma$, ΔEZ posita sint. et ım in arcu $AB\Gamma$ positum id sit, cui simile ım inueniendum est, segmentum autem in arcu situm id, cuius superficiei superficiem aequa- mentum quaesitum habere oportet. fiat, et um sphaerae $K\Lambda M$ segmento $AB\Gamma$ simile sit, em autem superficiei segmenti ΔEZ aequalem et fingantur centra sphaerarum, et per ea du- plana ad bases segmentorum perpendicularia, haeris sectiones sint circuli maximi $K\Lambda MN$, $EZH\Delta$, in basibus autem segmentorum KM, Z lineae. diametri autem sphaerarum ad lineas Γ, ΔZ perpendiculares sint ΛN, $B\Theta$, EH. et


ύο δοθέντων τμαμάτων σφαίρας εἴτε τᾶς αὐτᾶς εἴτε ρεῖν τι τμᾶμα σφαίρας, ὃ ἐσσεῖται αὐτὸ μὲν ὅμοιον ρ τῶν τμαμάτων, τὰν δὲ ἐπιφάνειαν ἴσαν ἕξει τᾷ ἐπι- τοῦ ἑτέρου τμάματος. περὶ ἑλίκ. praef.
φαιρικά lin. 13 Archimedeum non est.

ΔΖ ἔστωσαν αἱ ΑΝ, ΒΘ, ΕΗ. καὶ ἐπεζεύχθωσα ΑΜ, ΒΓ, ΕΖ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ τοῦ ΚΑΜ ματος τῆς σφαίρας ἐπιφάνεια τῇ τοῦ ΔΕΖ τμήμ ἐπιφανείᾳ, ἴσος ἄρα ἐστὶν καὶ ὁ κύκλος, οὗ ἡ ἐκ κέντρου ἴση ἐστὶ τῇ ΔΜ, τῷ κύκλῳ, οὗ ἡ ἐκ κέντρου ἴση ἐστὶ τῇ ΕΖ [αἱ γὰρ ἐπιφάνειαι τῶν μένων τμημάτων ἴσαι ἐδείχθησαν κύκλοις, ὧν τῶν κέντρων ἴσαι εἰσὶν ταῖς ἀπὸ τῶν κορυφῶν τμημάτων ἐπὶ τὰς βάσεις ἐπιζευγνυούσαις]. ὥστε ἡ ΜΔ τῇ ΕΖ ἴση ἐστίν. ἐπεὶ δὲ ὅμοιόν ἐστι τὸ Κ τῷ ΑΒΓ τμήματι, ἔστιν ὡς ἡ ΔΡ πρὸς ΡΝ, ἡ πρὸς ΠΘ. καὶ ἀνάπαλιν καὶ συνθέντι, ὡς ἡ ΝΔ ΔΡ, οὕτως ἡ ΘΒ πρὸς ΒΠ. ἀλλὰ καὶ ὡς ἡ ΡΔ ΔΜ, οὕτως ἡ ΒΠ πρὸς ΓΒ [ὅμοια γὰρ τὰ τρίγω ὡς ἄρα ἡ ΝΔ πρὸς ΔΜ, τουτέστι πρὸς ΕΖ, ο ἡ ΘΒ πρὸς ΒΓ. καὶ ἐναλλάξ. λόγος δὲ τῆς ΕΖ ΒΓ δοθείς· δοθεῖσα γὰρ ἑκατέρα. λόγος ἄρα καὶ ΑΝ πρὸς ΘΒ δοθείς. καί ἐστι δοθεῖσα ἡ ΒΘ. θεῖσα ἄρα καὶ ἡ ΑΝ. ὥστε καὶ ἡ σφαῖρα δοθ ἐστιν.

συντεθήσεται δὲ οὕτως· ἔστω τὰ δοθέντα δύο ματα σφαίρας τὰ ΑΒΓ, ΔΕΖ, τὸ μὲν ΑΒΓ, ᾧ ὅμοιον, τὸ δὲ ΔΕΖ, οὗ τὴν ἐπιφάνειαν ἴσην ἔχει

11. ἔστιν] ἔστιν ἄρα Torellius, et hoc habet Eutocius fieri potest, ut ἄρα a transscriptore omissum sit. 13. ΘΠ F. 17. δοθείς] om. F; corr. ed. Basil., Cr. 18 θείς] om. F; corr. ed. Basil., Cr. 21. δέ] scripsi; δη F, u 23. ἔχειν] εχει F; corr. Torellius. auditur δεῖ ex lin. 22; p. 226, 16.

lineae ΔM, $B\Gamma$, EZ. et quoniam super-
ΛM segmenti sphaerae aequalis est superficiei
ΔEZ, etiam circulus, cuius radius aequalis
e ΛM, aequalis est circulo, cuius radius
est lineae EZ [I, 42—43]. quare etiam
EZ [Eucl. XII, 2]. porro quoniam [segmen-
ΛM segmento $AB\Gamma$ simile est, erit
$\Lambda P : PN = B\Pi : \Pi\Theta$ [u. Eutocius].
rtendo [Eucl. V, 7 πόρ.] [$PN : \Lambda P = \Pi\Theta : B\Pi$]



onendo [Eucl. V, 18] $N\Lambda : \Lambda P = B\Theta : B\Pi$.
m $P\Lambda : \Lambda M = B\Pi : \Gamma B$.[1]) quare $N\Lambda : \Lambda M$,
$N\Lambda : EZ = \Theta B : B\Gamma$ [δι' ἴσου Eucl. V, 22].
im [Eucl. V, 16] [$N\Lambda : \Theta B = EZ : B\Gamma$]. ratio
$EZ : B\Gamma$ data est; utraque enim linea data est
ocius]. quare etiam ratio $\Lambda N : \Theta B$ data. et
a est; itaque etiam ΛN. itaque etiam sphaera
t [Eucl. dat. def. 5].

ponetur autem hoc modo: sint data duo seg-
sphaerae $AB\Gamma$, ΔEZ, quorum $AB\Gamma$ id sit,
ile segmentum inuenire oportet, ΔEZ autem

1) Nam $B\Gamma\Pi \backsim \Lambda MP$ (u. Eutocius); tum u. Eucl. VI, 4.

ἐπιφανείᾳ. καὶ τὰ αὐτὰ κατεσκευάσθω τοῖς ἐπ ἀναλύσεως, καὶ πεποιήσθω, ὡς μὲν ἡ ΒΓ πρὸς οὕτως ἡ ΒΘ πρὸς ΛΝ. καὶ περὶ διάμετρον τὴ κύκλος γεγράφθω. καὶ νοείσθω σφαῖρα, ἧς μέγ ἔστω κύκλος ὁ ΛΚΝΜ, καὶ τετμήσθω ἡ ΝΛ τὸ Ρ, ὥστε εἶναι ὡς τὴν ΘΠ πρὸς ΠΒ, τὴν ΝΡ ΡΛ. καὶ διὰ τοῦ Ρ ἐπιπέδῳ τετμήσθω ἡ ἐπιφ ὀρθῷ πρὸς τὴν ΛΝ, καὶ ἐπεζεύχθω ἡ ΛΜ. ἄρα ἐστὶν τὰ ἐπὶ τῶν ΚΜ, ΑΓ εὐθειῶν τῶν κ τμήματα. ὥστε καὶ τὰ τμήματα τῶν σφαιρῶν ὅμοια. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΘΒ πρὸς ΒΠ, οὕ ΝΛ πρὸς ΛΡ· καὶ γὰρ κατὰ διαίρεσιν· ἀλλὰ κ ἡ ΠΒ πρὸς ΒΓ, οὕτως ἡ ΡΛ πρὸς ΛΜ, καὶ ὡ ἡ ΘΒ πρὸς ΝΛ, ἡ ΒΓ πρὸς ΛΜ. ἦν δὲ καὶ ΘΒ πρὸς ΛΝ, ἡ ΒΓ πρὸς ΕΖ. ἴση ἄρα ἐστὶν τῇ ΛΜ. ὥστε καὶ ὁ κύκλος, οὗ ἡ ἐκ τοῦ κέ ἐστὶν ἡ ΕΖ, ἴσος ἐστὶ τῷ κύκλῳ, οὗ ἡ ἐκ τοῦ τρου ἴση ἐστὶ τῇ ΛΜ. καὶ ὁ μὲν τὴν ἐκ τοῦ κέ ἔχων τὴν ΕΖ κύκλος ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ ΔΕΖ τμήματος. ὁ δὲ κύκλος, οὗ ἡ ἐκ τοῦ κέ ἴση ἐστὶ τῇ ΛΜ, ἴσος ἐστὶ τῇ ἐπιφανείᾳ τοῦ Κ τμήματος. τοῦτο γὰρ ἐν τῷ πρώτῳ δέδεικται. ἴσ καὶ ἡ ἐπιφάνεια τοῦ ΚΛΜ τμήματος τῇ ἐπιφ τοῦ ΔΕΖ τμήματος τῆς σφαίρας, καί ἐστιν ὅμοι ΚΛΜ τῷ ΑΒΓ.

---

8. *ΛΝ*] *ΑΝ* F. *ΛΜ*] *ΑΜ* F. 12. *κατά*] scripsi Q Arch. p. 157; *τα κατα* F, uulgo; *τοῦτο κατά* Torellius. *τῷ*] scripsi; om. F, uulgo. *κύκλῳ, οὗ ἡ ἐκ τοῦ κέντρ ἐστί*] om. F; corr. ed. Basil., Cr. 23. *τῇ ἐπιφανείᾳ τοῦ τμήματος*] om. F; corr. ed. Basil. (*ΔΕΞ* pro *ΔΕΖ*, quod Torellius), sed post *τῆς σφαίρας*; ipse transposui. „sup igitur *klm* portionis sphaerae similis est *abc* et aequalis ficiei *def*“ Cr.

superficiei aequalem superficiem habere opor- ıentum quaesitum. et construantur eadem, analysi, et fiat[1]) $B\Gamma : EZ = B\Theta : \Delta N$. et iametrum ΔN circulus describatur. et fin- haera, cuius circulus maximus sit ΔKNM, r $N\Delta$ in puncto P, ita ut sit

$$\Theta\Pi : \Pi B = NP : P\Delta$$ [Eucl. VI, 10].

icies secetur plano per P ducto ad ΔN lineam ɔulari, et ducatur ΔM. similia igitur sunt ı circulorum in lineis KM, $A\Gamma$ posita [u. Eu- quare etiam segmenta sphaerarum similia ; quoniam $\Theta B : B\Pi = N\Delta : \Delta P$ (nam etiam nptionem [est $\Theta\Pi : B\Pi = NP : \Delta P$; tum u. 18]), et etiam $\Pi B : B\Gamma = P\Delta : \Delta M$ [p. 229 itaque etiam $\Theta B : N\Delta = B\Gamma : \Delta M$.[3]) erat $\Theta B : \Delta N = B\Gamma : EZ$ [ex hypothesi]. itaque ΔM [Eucl. V, 9]. quare etiam circulus, cuius st EZ, aequalis est circulo, cuius radius aequa- ΔM lineae. et circulus radium habens EZ est superficiei segmenti ΔEZ, circulus autem, ıdius aequalis est lineae ΔM, aequalis est su- segmenti $K\Delta M$. hoc enim in primo libro ıratum est [I, 42—43]. itaque etiam super- egmenti $K\Delta M$ aequalis est superficiei ΔEZ ti sphaerae, et simile est segmentum $K\Delta M$ to $AB\Gamma$.

---

1) i. e. γεγονέτω lin. 2.

2) Ex eo comperimus, horum uerborum formam genuinam e: τὰ ἐπὶ τῶν KM, $A\Gamma$ τμήματα κύκλων lin. 9.

3) Nam δι' ἴσου (Eucl. V, 22): $\Theta B : B\Gamma = N\Delta : \Delta M$; ιλάξ (Eucl. V, 16).

ζ'.

Ἀπὸ τῆς δοθείσης σφαίρας τμῆμα τεμεῖν ἐπιπέδ ὥστε τὸ τμῆμα πρὸς τὸν κῶνον τὸν βάσιν ἔχοντα τ αὐτὴν τῷ τμήματι καὶ ὕψος ἴσον τὸν δοθέντα λόγ ἔχειν.

ἔστω ἡ δοθεῖσα σφαῖρα, ἧς μέγιστος κύκλος *ΑΒΓΔ*, διάμετρος δὲ αὐτῆς ἡ *ΒΔ*. δεῖ δὴ τὴν σφα ραν ἐπιπέδῳ τεμεῖν τῷ διὰ τῆς *ΑΓ*, ὅπως τὸ *ΑΒ* τμῆμα τῆς σφαίρας πρὸς τὸν *ΑΒΓ* κῶνον λόγον ἔχ τὸν αὐτὸν τῷ δοθέντι.

γεγονέτω, καὶ ἔστω κέντρον τῆς σφαίρας τὸ *Ε* καὶ ὡς συναμφότερος ἡ *ΕΔΖ* πρὸς *ΔΖ*, οὕτως ἡ *Η* πρὸς *ΖΒ*. ἴσος ἄρα ἐστὶν ὁ *ΑΓΗ* κῶνος τῷ *ΑΒ* τμήματι. λόγος ἄρα καὶ τοῦ *ΑΗΓ* κώνου πρὸς τὸ *ΑΒΓ* κῶνον δοθείς. λόγος ἄρα τῆς *ΗΖ* πρὸς *ΖΒ* δοθείς. ὡς δὲ ἡ *ΗΖ* πρὸς *ΖΒ*, συναμφότερος ἡ *ΕΔΖ* πρὸς *ΔΖ*. λόγος ἄρα συναμφοτέρου τῆς *ΕΔΖ* πρὸς *ΔΖ* δοθείς [ὥστε καὶ τῆς *ΕΔ* πρὸς *ΔΖ*. δοθεῖσα ἄρα καὶ ἡ *ΔΖ*]. ὥστε καὶ ἡ *ΑΓ*. καὶ ἐπεὶ συναμφότερος ἡ *ΕΔΖ* πρὸς *ΔΖ* μείζονα λόγον ἔχει, ἤπερ συναμφότερος ἡ *ΕΔΒ* πρὸς *ΔΒ*, καὶ ἐστιν συναμφότερος μὲν ἡ *ΕΔΒ* τρὶς ἡ *ΕΔ*, ἡ δὲ *ΒΔ* δὶς ἡ *ΕΔ*, συν αμφότερος ἄρα ἡ *ΕΔΖ* πρὸς *ΔΖ* μείζονα λόγον ἔχε τοῦ, ὃν ἔχει τρία πρὸς δύο. καί ἐστιν ὁ συναμφο

---

1. ή' Torellius; om. ed. Basil. 3. τὸν βάσιν] scripsi

VII.

A sphaera data plano segmentum abscindere, ita ut segmentum ad conum eandem basim habentem, quam segmentum, et altitudinem aequalem datam rationem habeat.[1])

data sphaera ea sit, cuius circulus maximus est $AB\Gamma\Delta$, diametrus autem eius $B\Delta$. oportet igitur sphaeram plano per $A\Gamma$ ducto ita secare, ut[2]) segmentum sphaerae $AB\Gamma$ ad conum $AB\Gamma$ datam rationem habeat.

fiat, et centrum sphaerae sit E, et sit

$$E\Delta + \Delta Z : \Delta Z = HZ : ZB.$$

itaque conus $A\Gamma H$ aequalis est segmento $AB\Gamma$ [prop. 2]. quare ratio conorum $AH\Gamma : AB\Gamma$ data. quare etiam $HZ : ZB$ [I lemm. 1 p. 80]. sed

$$HZ : ZB = E\Delta + \Delta Z : \Delta Z.$$

quare etiam ratio $E\Delta + \Delta Z : \Delta Z$ data est.[3]) itaque etiam linea $A\Gamma$ data [u. Eutocius]. et quoniam

$$E\Delta + \Delta Z : \Delta Z > E\Delta + \Delta B : \Delta B,$$

et $E\Delta + \Delta B = 3E\Delta$, et $B\Delta = 2E\Delta$, erit igitur

1) Ἀπὸ τᾶς δοθείσας σφαίρας τμᾶμα ἀποτεμεῖν ἐπιπέδῳ, ὥστε τὸ τμᾶμα ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι καὶ ὕψος ἴσον τὸν ταχθέντα λόγον ἔχειν μείζονα τοῦ, ὃν ἔχει τὰ τρία ποτὶ τὰ δύο. περὶ ἑλίκ. praef.


2) Pro ὅπως lin. 8 Archimedes usus erat ὥστε (Quaest. Arch. p. 70).

3) Archimedes scripserat: λόγος ἄρα δεδομένος συναμφοτέρου τῆς $E\Delta Z$ πρὸς ΔZ lin. 17—18 (Eutocius).

τὴν βασιν F, uulgo. 9. ἔχῃ] scripsi; εχει FC*V; ἔχειν B* ed. Basil., Torellius. 12. $E\Delta$, ΔZ Torellius. 16. $E\Delta$, ΔZ idem. 17. $E\Delta$, $Z\Delta$ idem. 21. $E\Delta$, ΔZ idem. 24. $E\Delta$, ΔB idem, ut lin. 26. 27. δίς] δυο F; corr. V; „bis“ Cr. 28. $E\Delta$, ΔZ Torellius, ut p. 234 lin. 1.

τέρου τῆς ΕΔΖ πρὸς ΖΔ λόγος ὁ αὐτὸς τῷ δοθέν δεῖ ἄρα τὸν διδόμενον λόγον εἰς τὴν σύνθεσιν μ ζονα εἶναι τοῦ, ὃν ἔχει τρία πρὸς δύο.

συντεθήσεται δὲ τὸ πρόβλημα οὕτως· ἔστω ἡ θεῖσα σφαῖρα, ἧς μέγιστος κύκλος ὁ ΑΒΓΔ, διά τρος δὲ ἡ ΒΔ, κέντρον δὲ τὸ Ε, ὁ δὲ δοθεὶς λό ὁ τῆς ΘΚ πρὸς ΚΛ, μείζων τοῦ, ὃν ἔχει τρία πρ δύο. ἔστι δὲ ὡς τρία πρὸς δύο, συναμφότερος ἡ ΕΔ πρὸς ΔΒ. καὶ ἡ ΘΚ ἄρα πρὸς ΚΛ μείζονα λό ἔχει τοῦ, ὃν ἔχει συναμφότερος ἡ ΕΔΒ πρὸς Δ διελόντι ἄρα ἡ ΘΛ πρὸς ΛΚ μείζονα λόγον ἔχει, ἤπ ἡ ΕΔ πρὸς ΔΒ. καὶ πεποιήσθω, ὡς ἡ ΘΛ πρὸς Λ οὕτως ἡ ΕΔ πρὸς Δ καὶ διὰ τοῦ Ζ τῇ ΒΔ πρ ὀρθὰς ἤχθω ἡ ΑΖΓ, κ διὰ τῆς ΓΑ ἤχθω ἐπίπεδ ὀρθὸν πρὸς τὴν ΒΔ. λέγ ὅτι τὸ ἀπὸ ΑΒΓ τμῆ τῆς σφαίρας πρὸς τ ΑΒΓ κῶνον λόγον ἔχει τ αὐτὸν τῷ ΘΚ πρὸς Κ πεποιήσθω γὰρ ὡς συνα φότερος ἡ ΕΔΖ πρὸς ΔΖ, οὕτως ἡ ΗΖ πρὸς Ζ ἴσος ἄρα ἐστὶν ὁ ΓΑΗ κῶνος τῷ ΑΒΓ τμήματι τ σφαίρας. καὶ ἐπεί ἐστιν, ὡς ἡ ΘΚ πρὸς ΚΛ, οὕτ συναμφότερος ἡ ΕΔΖ πρὸς ΔΖ, τουτέστιν ἡ Η πρὸς ΖΒ, τουτέστιν ὁ ΑΗΓ κῶνος πρὸς τὸν ΑΒ κῶνον, ἴσος δὲ ὁ ΑΗΓ κῶνος τῷ ΑΒΓ τμήματι τ σφαίρας, ὡς ἄρα τὸ ΑΒΓ τμῆμα πρὸς τὸν ΑΒΓ κ νον, οὕτως ἡ ΘΚ πρὸς ΚΛ.



4. δέ] scripsi; δη F, uulgo. 8. ΕΔ, ΔΒ Torellius,

$: \varDelta Z > 3:2$. et ratio $E\varDelta + \varDelta Z : \varDelta Z$ it rationi datae. oportet igitur, rationem im datam maiorem esse, quam $3:2$.

etur autem problema hoc modo: data sphaera is circulus maximus est $AB\Gamma\varDelta$, diametrus $B\varDelta$, centrum autem E, et ratio data, maior , $\Theta K : K A$. est autem

$$E\varDelta + \varDelta B : \varDelta B = 3:2.$$

$$\Theta K : K A > E\varDelta + \varDelta B : \varDelta B.$$

igitur $\Theta A : K A > E\varDelta : \varDelta B$.[1]) et fiat[2]) $= E\varDelta : \varDelta Z$, et per Z ad lineam $B\varDelta$ peris ducatur $AZ\Gamma$, et per ΓA ducatur planum ieam perpendiculare. dico, segmentum sphae- $B\Gamma$ positum ad conum $AB\Gamma$ eandem ratiore, quam $\Theta K : K A$. fiat[3]) enim

$$E\varDelta + \varDelta Z : \varDelta Z = HZ : ZB.$$

inus $\Gamma A H$ aequalis est segmento sphaerae op. 2]. et quoniam

$A = E\varDelta + \varDelta Z : \varDelta Z$[4]) $= HZ : ZB =$ conus onum $AB\Gamma$ [I lemm. 1 p. 80], et conus $AH\Gamma$ est segmento sphaerae $AB\Gamma$, erit igitur, ut im $AB\Gamma$ ad conum $AB\Gamma$, ita $\Theta K : K A$.

: Pappi libr. VII, 45 conuersa (II p. 684).
ποιήσθω lin. 12 ⊃: γεγονέτω.
ibebat esse γεγονέτω lin. 22.
im $\Theta A : A K = E\varDelta : \varDelta Z$; tum συνθέντι (Eucl. V, 18).


15. $AZ\Gamma$] Torellius; $A\Gamma Z$ F, uulgo; fortasse scri- Γ. 18. ἀπό om. ed. Basil., Torellius, Cr. 23. Torellius, ut lin. 26. 27. $AH\Gamma$] $AH\Gamma$ F. 28. om. F; corr. B; „aequatur portioni sphaerae" Cr.

η'.

Ἐὰν σφαῖρα ἐπιπέδῳ τμηθῇ μὴ διὰ τοῦ κέντρου, τὸ μεῖζον τμῆμα πρὸς τὸ ἔλασσον ἐλάσσονα μὲν λόγον ἔχει ἢ διπλάσιον τοῦ, ὃν ἔχει ἡ τοῦ μείζονος τμήματος ἐπιφάνεια πρὸς τὴν τοῦ ἐλάσσονος ἐπιφάνειαν, μείζονα δὲ ἢ ἡμιόλιον.

ἔστω σφαῖρα, καὶ ἐν αὐτῇ μέγιστος κύκλος ὁ *ΑΒΓΔ*, καὶ διάμετρος ἡ *ΒΔ*, καὶ τετμήσθω ἐπιπέδῳ διὰ τῆς *ΑΓ* ὀρθῷ πρὸς τὸν *ΑΒΓΔ* κύκλον, καὶ ἔστω μεῖζον τμῆμα τῆς σφαίρας τὸ *ΑΒΓ*. λέγω, ὅτι τὸ *ΑΒΓ* τμῆμα πρὸς τὸ *ΑΔΓ* ἐλάσσονα μὲν ἢ διπλασίονα λόγον ἔχει, ἤπερ ἡ ἐπιφάνεια τοῦ μείζονος τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐλάσσονος τμήματος, μείζονα δὲ ἢ ἡμιόλιον.

ἐπεζεύχθωσαν γὰρ αἱ *ΒΑΔ*, καὶ ἔστω κέντρον τὸ *Ε*. καὶ πεποιήσθω, ὡς μὲν συναμφότερος ἡ *ΕΔΖ* πρὸς *ΔΖ*, ἡ *ΘΖ* πρὸς *ΖΒ*, ὡς δὲ συναμφότερος ἡ *ΕΒΖ* πρὸς *ΒΖ*, οὕτως ἡ *ΗΖ* πρὸς *ΖΔ*. καὶ νοείσθωσαν κῶνοι βάσιν ἔχοντες τὸν περὶ διάμετρον τὴν *ΑΓ* κύ-



κλον, κορυφὰς δὲ τὰ *Θ*, *Η* σημεῖα. ἔσται δὴ ἴσος ὁ μὲν *ΑΘΓ* κῶνος τῷ *ΑΒΓ* τμήματι τῆς σφαίρας, ὁ δὲ

1. θ' Torellius. 3. ἔλασσον] om. F; corr. B, Cr. 4. τοῦ] των per comp. F, ut uidetur. 11. τό] τον per comp.

VIII.

Si sphaera plano non per centrum ducto secatur, us segmentum ad minus minorem rationem habet m duplicem, quam habet superficies segmenti ma- s ad superficiem minoris, maiorem autem quam quialteram.[1])

sit sphaera, et in ea circulus maximus $AB\Gamma\Delta$, et metrus $B\Delta$, et secetur plano per $A\Gamma$ lineam ad cir- um $AB\Gamma\Delta$ perpendiculari, et maius sphaerae seg- tum sit $AB\Gamma$. dico, segmentum $AB\Gamma$ ad $A\Delta\Gamma$ orem quam duplicem rationem habere, quam super- em segmenti maioris ad superficiem minoris, maio- autem quam sesquialteram.

ducantur enim lineae BA, $A\Delta$, et centrum sit E. fiat[2])

$$E\Delta + \Delta Z : \Delta Z = \Theta Z : ZB$$

$$EB + BZ : BZ = HZ : Z\Delta,$$

fingantur coni basim habentes circulum circum $A\Gamma$ metrum descriptum, uertices autem Θ, H puncta. it igitur conus $A\Theta\Gamma$ aequalis segmento sphaerae

1) *Εἴ κα σφαῖρα ἐπιπέδῳ τμαθῇ εἰς ἄνισα ποτ' ὀρθὰς δια- ῳ τινὶ τῶν ἐν τᾷ σφαίρᾳ . . ., τὸ μεῖζον τμᾶμα τᾶς σφαί- ποτὶ τὸ ἔλασσον ἐλάσσονα μὲν ἢ διπλάσιον λόγον ἔχει τοῦ, ἔχει ἁ μείζων ἐπιφάνεια ποτὶ τὰν ἐλάσσονα, μείζονα δὲ ἢ όλιον. περὶ ἑλίκ.* praef.; u. Neue Jahrbücher, Suppl. XI sq.

2) *πεποιήσθω* lin. 16 ɔ: *γεγονέτω*.

corr. ed. Basil.* 15. BA, $A\Delta$ Torellius. 16. $E\Delta$, ΔZ rellius. 17. EB, BZ idem. 19. *βάσιν μέν* Torellius.

ΑΓΗ τῷ ΑΔΓ. καί ἐστιν, ὡς τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ, οὕτως ἡ ἐπιφάνεια τοῦ ΑΒΓ τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ΑΔΓ τμήματος. τοῦτο γὰρ προγέγραπται [δεικτέον, ὅτι τὸ μεῖζον τμῆμα τῆς σφαίρας πρὸς τὸ ἔλασσον ἐλάσσονα λόγον ἔχει ἢ διπλάσιον, ἤπερ ἡ ἐπιφάνεια τοῦ μείζονος τμήματος πρὸς τὴν ἐπιφάνειαν τοῦ ἐλάσσονος τμήματος]. λέγω, ὅτι καὶ ὁ ΑΘΓ κῶνος πρὸς τὸν ΑΗΓ, τουτέστιν ἡ ΖΘ πρὸς ΖΗ, ἐλάσσονα λόγον ἔχει ἢ διπλάσιον τοῦ, ὃν ἔχει τὸ ἀπὸ ΒΑ πρὸς τὸ ἀπὸ ΑΔ, τουτέστιν ἡ ΒΖ πρὸς ΖΔ. καὶ ἐπεί ἐστιν, ὡς [μὲν] συναμφότερος ἡ ΕΔΖ πρὸς ΔΖ, οὕτως ἡ ΘΖ πρὸς ΖΒ [ὡς δὲ συναμφότερος ἡ ΕΒΖ πρὸς ΒΖ, οὕτως ἡ ΖΗ πρὸς ΖΔ], ἔσται καὶ ὡς ἡ ΒΖ πρὸς ΖΔ, ἡ ΘΒ πρὸς ΒΕ. ἴση γὰρ ἡ ΒΕ τῇ ΔΕ [τοῦτο γὰρ ἐν τοῖς ἐπάνω συναποδέδεικται]. πάλιν ἐπεί ἐστιν, ὡς συναμφότερος ἡ ΕΒΖ πρὸς ΒΖ, ἡ ΗΖ πρὸς ΖΔ, ἔστω τῇ ΒΕ ἴση ἡ ΒΚ. δῆλον γάρ, ὅτι μείζων ἐστὶν ἡ ΘΒ τῆς ΒΕ, ἐπεὶ καὶ ἡ ΒΖ τῆς ΖΔ. καὶ ἔσται, ὡς ἡ ΚΖ πρὸς ΖΒ, ἡ ΗΖ πρὸς ΖΔ. ὡς δὲ ἡ ΖΒ πρὸς ΖΔ, ἐδείχθη ἡ ΘΒ πρὸς ΒΕ, ἴση δὲ ἡ ΒΕ τῇ ΚΒ· ὡς ἄρα ἡ ΘΒ πρὸς ΒΚ, οὕτως ἡ ΚΖ πρὸς ΖΗ. καὶ ἐπεὶ ἡ ΘΖ πρὸς ΖΚ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ ΘΒ πρὸς ΒΚ, ὡς δὲ ἡ ΘΒ πρὸς ΒΚ, ἐδείχθη ἡ ΚΖ πρὸς ΖΗ, ἡ ΘΖ ἄρα πρὸς ΖΚ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ ΚΖ πρὸς ΖΗ. ἔλασσον ἄρα τὸ ὑπὸ τῶν ΘΖΗ τοῦ ἀπὸ ΖΚ. τὸ ἄρα ὑπὸ τῶν ΘΖΗ πρὸς τὸ ἀπὸ ΖΗ [τουτέστιν ἡ ΖΘ πρὸς ΖΗ] ἐλάσσονα λόγον ἔχει τοῦ, ὃν ἔχει τὸ ἀπὸ τῆς ΚΖ πρὸς τὸ ἀπὸ ΖΗ [τὸ δὲ ἀπὸ ΚΖ πρὸς τὸ ἀπὸ

2. ἀπὸ ΑΔ] ἀπό om. F; corr. ed. Basil. 9. διπλάσιον] διπλασίονα Eutocius. 11. ΕΔ, ΔΖ Torellius. 12. ΕΒ, ΒΖ

$B\Gamma$, et conus $A\Gamma H$ segmento $A\Delta\Gamma$ [prop. 2]. et perficies segmenti $AB\Gamma$ ad superficiem segmenti $\Delta\Gamma$ eam rationem habet, quam $BA^2 : A\Delta^2$. hoc m antea demonstratum est.[1]) dico, etiam[2]) co- m $\Delta\Theta\Gamma$ ad $AH\Gamma$, hoc est $\Theta Z : ZH$ [I lemm. 1 30] minorem quam duplicem rationem habere, quam $A^2 : A\Delta^2$, hoc est $BZ : Z\Delta$ [u. Eutocius]. et quo- m $E\Delta + \Delta Z : \Delta Z = \Theta Z : ZB$, erit etiam

$$BZ : Z\Delta = \Theta B : BE;$$

$BE = \Delta E$.[3]) rursus quoniam

$$EB + BZ : BZ = HZ : Z\Delta,$$

$BK = BE$. adparet enim $\Theta B > BE$, quia $BZ > Z\Delta$. rit $KZ : ZB = HZ : Z\Delta$.[4]) sed

$$ZB : Z\Delta = \Theta B : BE,$$

demonstratum est, et $BE = KB$; quare

$$\Theta B : BK = KZ : ZH.$$ [5])

quoniam $\Theta Z : ZK < \Theta B : BK$ [u. Eutocius], sed onstratum est $\Theta B : BK = KZ : ZH$, itaque

$$\Theta Z : ZK < KZ : ZH.$$

re $\Theta Z \times ZH < ZK^2$ [u. Eutocius]. itaque $\Theta Z \times ZH : ZH^2 < KZ^2 : ZH^2$ [u. Eutocius].[6])

1) Demonstratum est (I, 42—43), superficies segmentorum ales esse circulis, cuius radii sint BA, $A\Delta$; sed circuli illi r se rationem habent, quam $BA^2 : A\Delta^2$ (Eucl. XII, 2).

2) Hoc est: sicut segmenta $AB\Gamma$, $A\Delta\Gamma$; p. 236 lin. 10 sq.

3) Nam διελόντι (Eucl. V, 17)

$$E\Delta : \Delta Z = \Theta B : ZB = BE : \Delta Z;$$

ἐναλλάξ (Eucl. V, 16).

4) Quia $EB + BZ = BK + BZ = KZ$.

5) Nam ἐναλλάξ est (Eucl. V, 16) $KZ : ZH = ZB : Z\Delta$.

6) Ex eius adnotatione adparet, Archimedem scripsisse lin. ἔχει ἤπερ τὸ ἀπὸ KZ πρὸς κτλ.

16. ἐστιν] ἐστι F. EB, BZ Torellius. 26. ΘZ, idem, ut lin. 27.

que totum frustum ad figuram inscriptam maiorem ionem habet, quam $\Xi + N : \frac{1}{2}\Xi + \frac{1}{3}N$; quare iam maiorem, quam $Z\Delta : \Theta P$.[1]) itaque totum frustum aiorem rationem habet ad figuram inscriptam quam conum Ψ[2]); quod fieri non potest. nam demonatum est, figuram inscriptam maiorem esse cono Ψ. que segmentum conoidis maius non est cono Ψ. — minus est segmentum conoidis cono Ψ, inscripta gmento figura solida et alia circumscripta ex cydri frustis aequalem altitudinem habentibus comsitis, ita ut figura circumscripta excedat inscriptam atio minore, quam quali conus Ψ segmentum exdit, rursus eodem modo demonstrabimus, figuram rcumscriptam minorem esse cono Ψ [cfr. p. 434, sq.], et frustum cylindri basim habens eandem, am segmentum, et eundem axem ad figuram circumcriptam minorem rationem habere quam ad conum [cfr. p. 434, 15 sq.]; quod fieri non potest.[3]) itaque segmentum conoidis ne minus quidem est cono . constat igitur propositum.

---

1) U. p. 425 not. 2.

2) Nam frustum totum ad Ψ eam rationem habet, quam $Z\Delta : \Theta P$; cfr. p. 420, 3 sq. itaque figura minor est cono.

3) Tum enim figura circumscripta maior esset cono Ψ (Eucl. V, 10), quod secus est (lin. 19).

κζ'.

Παντὸς σχήματος σφαιροειδέος ἐπιπέδῳ τμαθέντος διὰ τοῦ κέντρου ὀρθῷ ποτὶ τὸν ἄξονα τὸ ἁμίσεον τοῦ σφαιροειδέος διπλάσιόν ἐστι τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν.

ἔστω σφαιροειδὲς σχῆμα ἐπιπέδῳ τετμαμένον διὰ τοῦ κέντρου ὀρθῷ ποτὶ τὸν ἄξονα. τμαθέντος δὲ αὐτοῦ ἄλλῳ ἐπιπέδῳ διὰ τοῦ ἄξονος τοῦ μὲν σχήματος τομὰ ἔστω ἁ $ΑΒΓΔ$ ὀξυγωνίου κώνου τομά, διάμετρος δὲ αὐτᾶς καὶ ἄξων τοῦ σφαιροειδέος ἁ $ΒΔ$, κέντρον δὲ τὸ $Θ$. διοίσει δὲ οὐδέν, εἴτε ἁ μείζων ἐστὶ διάμετρος ἁ $ΒΔ$ τᾶς τοῦ ὀξυγωνίου κώνου τομᾶς, εἴτε ἁ ἐλάσσων. τοῦ δὲ τετμακότος ἐπιπέδου τὸ σχῆμα τομὰ ἔστω ἁ $ΓΑ$ εὐθεῖα. ἐσσεῖται δὴ αὐτὰ διὰ τοῦ $Θ$ καὶ ὀρθὰς ποιήσει γωνίας ποτὶ τὰν $ΒΔ$, ἐπεὶ τὸ ἐπίπεδον ὑποκεῖται διὰ τοῦ κέντρου τε ἄχθαι καὶ ὀρθὸν εἶμεν ποτὶ τὸν ἄξονα. δεικτέον, ὅτι τὸ ἁμίσεον τοῦ σφαιροειδέος τμᾶμα τὸ βάσιν μὲν ἔχον τὸν κύκλον τὸν περὶ διάμετρον τὰν $ΑΓ$, κορυφὰν δὲ τὸ $Β$ σαμεῖον διπλάσιόν ἐστι τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν.

ἔστω γὰρ κῶνός τις, ἐν ᾧ τὸ $Ψ$, διπλασίων τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν τὰν $ΘΒ$. φαμὶ δὴ τὸ ἁμίσεον τοῦ σφαιροειδέος ἴσον εἶμεν τῷ $Ψ$ κώνῳ. εἰ οὖν μή ἐστιν ἴσον τὸ ἁμίσεον τοῦ σφαιροειδέος τῷ $Ψ$ κώνῳ, ἔστω πρῶτον, εἰ δυνατόν, μεῖζον. ἐγγεγράφθω δὴ

1. κθ' Torellius. 6. σχῆμα] τμημα F; corr. ed Basil.*; „portio" Cr. τετμημενον F, uulgo. 8. διά] scripsi; του μεν δια F, uulgo. σχήματος] τμηματος F; corr. B. 11. $Θ$] $ΘΔ$ F. 13. ἁ] addidi; om. F, uulgo. τετμηκοτος F; corr. Torellius.

XXVII.

Quauis figura sphaeroidis per centrum plano ad em perpendiculari secta, dimidia pars sphaeroidis plo maior est cono basim eandem habenti, quam mentum, et eundem axem.[1])


sit figura sphaeroidis per centrum plano ad axem rpendiculari secta. ea autem alio plano per axem sito secta, figurae sectio sit $ABΓΔ$ coni acutianguli tio [prop. 11, c], diametrus autem eius et axis sphaedis $BΔ$, centrum autem $Θ$. nihil autem interest, utrum ior diametrus sectionis coni acutianguli sit $BΔ$ an nor. plani autem figuram secantis sectio sit linea $ΓA$. igitur per punctum $Θ$ [ducta] erit, et cum linea $BΔ$ tos angulos faciet, quoniam suppositum est, planum per centrum ductum esse et ad axem perpendiculare ucl. XI, 18 et XI def. 4]. demonstrandum est, didiam partem sphaeroidis basim habentem circulum cum diametrum $AΓ$ descriptum, uerticem autem nctum B duplo maiorem esse cono basim eandem benti, quam segmentum, et eundem axem.

sit enim conus aliquis, in quo sit littera $Ψ$, duplo ior cono basim habenti eandem, quam segmentum, eundem axem $ΘB$. dico igitur, dimidiam partem haeroidis aequalem esse cono $Ψ$. iam si dimidia rs sphaeroidis cono $Ψ$ aequalis non est, sit primum, fieri potest, maior. inscribatur igitur segmento,

1) P. 284, 2 sq.: εἴ κά τι τῶν σφαιροειδέων σχημάτων ἐπιπέδῳ τμαθῇ διὰ τοῦ κέντρου ὀρθῷ ποτὶ τὸν ἄξονα, τῶν γεναθέντων τμαμάτων ἑκάτερον διπλάσιον ἐσσεῖται τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν.

18. τε ἄχθαι] scripsi; τεταχθαι F, uulgo. 24. δή] scripsi; δὲ F, uulgo.

εἰς τὸ τμᾶμα τὸ ἁμίσεον τοῦ σφαιροειδέος σχῆμα στερεόν, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων ὕψος ἴσον



ἐχόντων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ᾗ ἁλίκῳ ὑπερέχει τὸ ἁμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. ἐπεὶ οὖν μεῖζον ἐὸν τὸ περιγεγραμμένον σχῆμα τοῦ ἁμίσεος τοῦ σφαιροειδέος ἐλάσσονι ὑπερέχει τοῦ ἐγγεγραμμένου σχήματος, ᾗ τὸ ἁμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου, δῆλον οὖν, ὅτι καὶ τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ τμάματι τῷ ἁμισέῳ τοῦ σφαιροειδέος μεῖζόν

3. ἐχόντων] εχον τον (comp.) F. Litteram *P* in figura ad-

od dimidia pars est sphaeroidis, figura solida, et a circumscribatur ex cylindris altitudinem aequalem bentibus composita, ita ut figura circumscripta cedat inscriptam minore spatio, quam quali excedit midia pars sphaeroidis conum Ψ [prop. 19]. itaque oniam figura circumscripta, quae maior est dimidia rte sphaeroidis, minore spatio excedit figuram inriptam, quam quo dimidia pars sphaeroidis conum Ψ cedit, adparet, etiam figuram segmento inscriptam, od dimidia pars sphaeroidis est, maiorem esse cono Ψ. sit igitur cylindrus basim habens circulum circum

di; quadratum 1 addidit Torellius, sed seorsum; ego cum teris iunxi. 6. ἀμίσεος] F; ἀμίσεως uulgo. 7. ἐλάσσονι] zius; ελασσον F, uulgo. 9. οὖν] delendum? 10. τῷ μσέῳ] scripsi; του αμισεος FCD, τοῦ ἀμίσεως uulgo.

ἐστι τοῦ Ψ κώνου. ἔστω δὴ κύλινδρος βάσιν μὲν ἔχων τὸν κύκλον τὸν περὶ διάμετρον τὰν ΑΓ, ἄξονα δὲ τὰν ΒΘ. ἐπεὶ οὖν οὗτος ὁ κύλινδρος τριπλάσιός ἐστι τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν, ὁ δὲ Ψ κῶνος διπλάσιός ἐστι τοῦ αὐτοῦ κώνου, δῆλον, ὡς ὁ κύλινδρος ἡμιόλιός ἐστι τοῦ Ψ κώνου. ἐκβεβλήσθω δὴ τὰ ἐπίπεδα τῶν κυλίνδρων πάντων, ἐξ ὧν συγκεῖται τὸ ἐγγεγραμμένον σχῆμα, ἔστε ποτὶ τὰν ἐπιφάνειαν τοῦ κυλίνδρου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν. ἐσσεῖται δὴ ὁ ὅλος κύλινδρος διαιρημένος εἰς κυλίνδρους τῷ μὲν πλήθει ἴσους τοῖς κυλίνδροις τοῖς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τῷ δὲ μεγέθει ἴσους τῷ μεγίστῳ αὐτῶν. ἔστων οὖν γραμμαὶ κείμεναι, ἐφ' ἂν τὰ Ξ, τῷ πλήθει ἴσαι τοῖς τμαμάτεσσι τοῖς τᾶς ΒΘ εὐθείας, τῷ δὲ μεγέθει ἴσα ἑκάστα τᾷ ΒΘ, καὶ ἀπὸ ἑκάστας τετράγωνον ἀναγεγράφθω. ἀφαιρήσθω δὴ ἀπὸ μὲν τοῦ ἐσχάτου τετραγώνου γνώμων πλάτος ἔχων ἴσον τᾷ ΒΙ. ἐσσεῖται δὴ οὗτος ἴσος τῷ περιεχομένῳ ὑπὸ τᾶν ΒΙ, ΙΔ. ἀπὸ δὲ τοῦ παρ' αὐτῷ τετραγώνου γνώμων ἀφαιρήσθω πλάτος ἔχων διπλάσιον τᾶς ΒΙ. ἐσσεῖται δὴ οὗτος ἴσος τῷ περιεχομένῳ ὑπὸ τᾶν ΒΧ, ΧΔ. καὶ ἀεὶ ἀπὸ τοῦ ἐχομένου τετραγώνου γνώμων ἀφαιρήσθω, οὗ πλάτος ἑνὶ τμάματι μεῖζον τοῦ πλάτεος τοῦ πρὸ αὐτοῦ ἀφαιρημένου γνώμονος. ἐσσεῖται δὴ ἕκαστος αὐτῶν ἴσος τῷ περι-

1. *βάσιν*] scripsi; *ὁ βασιν* F, uulgo. 9. *ἔστε*] *εσσειται* F; corr. Torellius. 11. *διαιρημένος*] scripsi; *διαιρουμενος* F, uulgo. 14. *ἔστων*] scripsi; *εστω δη* F; *ἔστωσαν δή* Nizzius cum BD. 15. *ισα* F; corr. Torellius. *τμημασι* F, uulgo; *τμάμασι* Torellius. 19. *ἴσον*] scripsi; *ισαν* F, uulgo. *δή*] Nizzius; *δε* F, uulgo. 21. *τετραγωνων* F. 22. *τῷ*] *το* F.

m $A\Gamma$ descriptum, axem autem $B\Theta$. iam hic cylindrus triplo maior est cono basim eandem, quam segmentum, et eundem axem II, 10; cfr. supra prop. 10], sed conus Ψ aior eodem cono, adparet, cylindrum dimidia iorem esse cono Ψ. producantur igitur plana cylindrorum, ex quibus composita est figura, usque ad superficiem cylindri basim habentis quam segmentum, et eundem axem. totus ylindrus diuisus erit in cylindros numero cylindris figurae circumscriptae, magnitudine aximo eorum aequales. ponantur igitur lineae, in quibus sint litterae Ξ, numero partibus Θ aequales, magnitudine autem singulae aequae $B\Theta$, et in singulis quadratum construatur. r igitur ab ultimo quadrato gnomon latitudinem lineae BI aequalem. is igitur aequalis erit Δ.[1]) a quadrato autem ei proximo auferatur latitudinem habens $2\,BI$. is igitur aequalis $\times X\Delta$. et semper deinceps a quadrato seauferatur gnomon, cuius latitudo una parte $B\Theta$] maior est latitudine gnomonis ante ablati. sque igitur eorum aequalis erit spatio partibus

1) Nam cum $B\Delta$ in partes aequales (in Θ) et in inaequa-) diuisa sit, erit (Eucl. II, 5): $BI\times I\Delta + I\Theta^2 = B\Theta^2$, $\Theta^2 - I\Theta^2 = BI\times I\Delta$, sed $B\Theta^2 - I\Theta^2$ ipse gnomon eodem modo ceteri gnomones inueniuntur.

μένου] ἑπομένου Torellius. 24. οὐ] addidi; om. F, ἑνί] scripsi; μεν ἡ FCD; μὲν ἴσον AB, ed. Basil; ν ἑνί Commandinus, Torellius. 25. πρό] C, Torellius; FD; πρώτου AB, ed. Basil.

εχομένῳ ὑπὸ τῶν τᾶς ΒΔ τμαμάτων, ὧν τὸ ἕτερον τμᾶμα ἴσον ἐστὶ τῷ πλάτει τοῦ γνώμονος. ἐσσεῖται δὴ καὶ [ἀπὸ] τοῦ τετραγώνου τοῦ δευτέρου τὸ λοιπὸν τετράγωνον τὰν πλευρὰν ἔχον ἴσαν τᾷ ΘΕ. ὁ δὲ κύλινδρος ὁ πρῶτος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΘΕ ποτὶ τὸν κύλινδρον τὸν πρῶτον τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι τὸν αὐτὸν ἔχοντα ἄξονα τὰν ΘΕ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΑΘ ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΚΕ· ὥστε καὶ ὃν τὸ ὑπὸ τᾶν ΒΘ, ΘΔ περιεχόμενον ποτὶ τὸ ὑπὸ τᾶν ΒΕ,ΕΔ περιεχόμενον. ἔχει οὖν ὁ κύλινδρος ποτὶ τὸν κύλινδρον τὸν αὐτὸν λόγον, ὃν τὸ πρῶτον τετράγωνον ποτὶ τὸν γνώμονα τὸν ἀπὸ τοῦ δευτέρου τετραγώνου ἀφαιρημένον. ὁμοίως δὲ καὶ τῶν ἄλλων κυλίνδρων ἕκαστος ἄξονα ἐχόντων ἴσον τᾷ ΘΕ ποτὶ τὸν κύλινδρον τὸν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι καὶ ἔχοντα ἄξονα τὸν αὐτὸν τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ τετράγωνον τὸ ὁμοίως τεταγμένον αὐτῷ ποτὶ τὸν γνώμονα τὸν ἀπὸ τοῦ ἑπομένου αὐτῷ τετραγώνου ἀφαιρημένον. ἐντὶ δή τινα μεγέθεα, οἱ κυλίνδροι οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ, καὶ ἄλλα, τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ΞΞ, ἴσα τῷ πλήθει τοῖς κυλίνδροις καὶ κατὰ δύο τὸν αὐτὸν λόγον ἔχοντα. λεγόνται δὲ οἱ κυλίνδροι ποτ' ἄλλα μεγέθεα, τοὺς κυλίνδρους τοὺς ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, ὁ δὲ ἔσχατος οὐδὲ ποθ' ἓν λεγέται, καὶ τὰ τετράγωνα ποτ' ἄλλα μεγέθεα, τοὺς ἀπὸ τῶν τετραγώνων ἀφαιρημένους, τὰ ὁμόλογα ἐν τοῖς αὐτοῖς λόγοις, τὸ δὲ ἔσχατον τετράγωνον οὐδὲ ποθ' ἓν λεγέται. πάντες οὖν οἱ κυλίνδροι οἱ ἐν τῷ

3. ἀπό] deleo. 4. τᾷ] ταν F; corr. Torellius. δέ] δή Torellius. 7. εχοντι F; corr. B. 10. ΒΘ] ΒΑ F; corr. ed.

lineae $B\Delta$ comprehenso, quarum altera latitudini gnomonis aequalis sit. quadrati igitur secundi quod relinquitur, quadratum erit latus habens lineae ΘE aequale. cylindrus autem primus totius cylindri axem habens ΘE ad primum cylindrum figurae inscriptae eundem habentem axem ΘE eandem habet rationem, quam

$$\Delta\Theta^2 : KE^2 \text{ [Eucl. XII, 11; XII, 2];}$$

quare etiam, quam $B\Theta \times \Theta\Delta : BE \times E\Delta$.[1]) itaque cylindrus ad cylindrum eandem rationem habet, quam primum quadratum ad gnomonem a secundo quadrato ablatum. et eodem modo etiam ceterorum cylindrorum axem habentium lineae ΘE aequalem unusquisque ad cylindrum figurae inscriptae eundem axem habentem eam rationem habet, quam quadratum eodem loco positum ad gnomonem a quadrato proxime sequenti ablatum. sunt igitur magnitudines quaedam, cylindri totius cylindri, et aliae magnitudines, quadrata linearum $\Xi\Xi$, numero cylindris aequales et binae cum binis in eadem proportione. cylindri autem cum aliis magnitudinibus, cylindris figurae inscriptae, in proportione sunt, ultimus autem in nulla proportione [p. 425 not. 1], et quadrata cum aliis magnitudinibus, [gnomonibus] a quadratis ablatis, respondentia in iisdem proportionibus, ultimum autem quadratum in nulla proportione. omnes igitur cylindri totius cy-

1) Apollon. I, 21; Zeitschr. f. Math., hist. Abth. XXV p. 48 nr. 5.

Basil.* 11. τὸ ὑπί] om. F; corr. B*. 12. κύλινδρον] κυκλον F; corr. ed. Basil. 15. ἴσον] scripsi; ισαν F, uulgo; τὰν ἴσαν? 18. τὸ ὁμοίως] scripsi; τό om. F, uulgo. 21. ὅλῳ] om. F; corr. Torellius. ἄλλα, τά] scripsi; τα om. F, uulgo. 26. ποθ' ἕν] scripsi; ποθεν F, uulgo, ut lin. 29. 27. τούς] τοὺς γνώμονας τούς Nizzius.

ὅλῳ κυλίνδρῳ ποτὶ πάντας τοὺς ἑτέρους κυλίνδρους τὸν αὐτὸν ἐξοῦντι λόγον, ὃν πάντα τὰ τετράγωνα ποτὶ πάντας τοὺς γνωμόνας τοὺς ἀφαιρημένους ἀπ' αὐτῶν. ὁ ἄρα κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα τὸν αὐτὸν ἔχει λόγον, ὃν πάντα τὰ τετράγωνα ποτὶ πάντας τοὺς γνωμόνας τοὺς ἀφαιρημένους ἀπ' αὐτῶν. τὰ δὲ τετράγωνα πάντων τῶν γνωμόνων τῶν ἀφαιρημένων ἀπ' αὐτῶν μείζονά ἐντι ἢ ἡμιόλια. ἐντὶ γάρ τινες γραμμαὶ κειμέναι αἱ ΞΡ, ΞΣ, ΞΤ, ΞΥ, ΞΦ τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι, καὶ ἁ ἐλαχίστα ἴσα τᾷ ὑπεροχᾷ. ἐντὶ δὲ καὶ ἄλλαι γραμμαί, ἐφ' ἆν τὰ δύο Ξ, Ξ, τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ μεγίστᾳ. τὰ οὖν τετράγωνα τὰ ἀπὸ πασᾶν, ἆν ἐστιν ἑκάστα ἴσα τᾷ μεγίστᾳ, πάντων μὲν τῶν τετραγώνων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν ἐλάσσονά ἐντι ἢ τριπλάσια, τῶν δὲ λοιπῶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας μείζονα ἢ τριπλασίονα. τοῦτο γὰρ ἐν τοῖς περὶ τᾶν ἑλίκων ἐκδεδομένοις δεδείκται. ἐπεὶ δὲ πάντα τὰ τετράγωνα ἐλάσσονά ἐντι ἢ τριπλάσια τῶν ἑτέρων τετραγώνων, ἅ ἐντι ἀφαιρημένα ἀπ' αὐτῶν, δῆλον, ὅτι τῶν λοιπῶν μείζονά ἐντι ἢ ἡμιόλια. τῶν οὖν γνωμόνων μείζονά ἐντι ἢ ἡμιόλια. ὥστε καὶ ὁ κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν μείζων ἐστὶν ἢ ἡμιόλιος

---

3. ἀφαιρημένους] scripsi; αφαιρομενους F, uulgo; ἀφαιρουμένους ed. Basil., Torellius; sic etiam lin. 7. 9. ἢ] om. F. 10. ΞΦ] ΞΦ, ΞΨ, ΞΩ F; corr. ed. Basil. 14. τᾷ] τῶ F; corr. Torellius. 15. ἆν] scripsi; ἁ F, uulgo. μὲν τῶν] scripsi; τῶν om. F, uulgo. 16. τᾶν τῷ ἴσῳ] scripsi; των ισων F, uulgo; τᾶν ἴσῳ Torellius. 18. μειζον F; corr. Torellius. τριπλασίονα] uel τριπλάσια scripsi; τριπλασιον F, uulgo. 21.

lindri ad omnes ceteros cylindros eandem rationem habebunt, quam omnia quadrata ad omnes gnomones ab iis ablatos [prop. 1]. itaque cylindrus basim habens eandem, quam segmentum, et eundem axem ad figuram inscriptam eandem habet rationem, quam omnia quadrata ad omnes gnomones ab iis ablatos. sed [omnia] quadrata illa maiora sunt quam dimidia parte maiora omnibus gnomonibus ab iis ablatis. sunt enim lineae quaedam positae, ΞP, $\Xi \Sigma$, ΞT, $\Xi \Upsilon$, $\Xi \Phi$, aequali differentia inter se excedentes, et minima differentiae aequalis est.[1]) sed etiam aliae quaedam lineae sunt, in quibus sunt duae litterae $\Xi\Xi$, numero illis aequales, magnitudine autem singulae aequales maximae. quadrata igitur omnium linearum, quarum quaeque maximae [illarum] aequalis est, omnibus quadratis linearum inter se aequali differentia excedentium minora sunt quam triplo maiora, reliquis autem praeter quadratum maximae maiora quam triplo maiora. hoc enim in libro de helicibus edito demonstratum est [prop. 10 coroll.]. quoniam autem omnia quadrata minora sunt quam triplo maiora alteris quadratis, quae ab iis ablata sunt, adparet, reliquiis maiora ea esse quam dimidia parte maiora. gnomonibus igitur maiora sunt quam dimidia parte maiora. quare etiam cylindrus basim habens eandem, quam segmentum, et eundem axem maior est quam dimidia parte maior figura in-

1) Sunt enim $5BI$, $4BI$, $3BI$, $2BI$, BI.

τριπλάσια] διπλασια F; corr. ed. Basil.* 22. μείζονα] να post lacunam F; corr. ed. Basil. 23. ημιολιω (alt. loco) F; corr. Torellius. 24. βασιν μεν F, uulgo; μεν deleui. 25. μειζον F. ἢ ἡμιόλιος] ημισεος F; corr. ed. Basil., Cr.

τοῦ ἐγγεγραμμένου σχήματος· ὅπερ ἀδύνατον. τοῦ γὰρ Ψ κώνου ἡμιόλιός ἐστι, τὸ δὲ ἐγγεγραμμένον σχῆμα μεῖζον ἐδείχθη τοῦ Ψ κώνου. οὐκ ἄρα ἐστὶ μεῖζον τὸ ἡμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. οὐδὲ τοίνυν ἔλασσον. ἔστω γάρ, εἰ δυνατόν, ἔλασσον. πάλιν δὴ ἐγγεγράφθω εἰς τὸ ἁμίσεον τοῦ σφαιροειδέος σχῆμα στερεόν, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων ὕψος ἴσον ἐχόντων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ᾧ ὑπερέχει ὁ Ψ κῶνος τοῦ ἡμίσεος τοῦ σφαιροειδέος, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον κατεσκευάσθω. ἐπεὶ οὖν ἔλασσόν ἐστι τὸ ἐγγραφὲν σχῆμα τοῦ τμάματος, δῆλον, ὅτι καὶ τὸ περιγραφὲν σχῆμα ἔλασσόν ἐστι τοῦ Ψ κώνου. πάλιν δὴ ὁ πρῶτος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΘΕ ποτὶ τὸν πρῶτον κύλινδρον τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν ἔχοντα ἄξονα τὰν ΘΕ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ πρῶτον τετράγωνον ποτ' αὐτό. ὁ δὲ δεύτερος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΕΠ ποτὶ τὸν δεύτερον κύλινδρον τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν ἔχοντα ἄξονα τὰν ΕΠ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ δεύτερον τετράγωνον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. καὶ τῶν ἄλλων δὲ κυλίνδρων ἕκαστος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ἄξονα ἐχόντων τὰν ἴσαν τᾷ ΘΕ ποτὶ τὸν κύλινδρον τὸν ἐν τῷ περιγεγραμμένῳ σχήματι κατ' αὐτὸν ἐόντα καὶ ἄξονα ἔχοντα τὸν αὐτὸν

4. ἁμίσεον Torellius. 5. ἔλασσον] priore loco ελασσων F. 6. ἁμίσεον] αμισθον F; corr. BC*. 10. ᾧ] addidi; om. F, uulgo. ἁμίσεος Torellius. 18. ποτ' αὐτό] scripsi; ποτ' αὑτό uulgo; de neglecta aspiratione cfr. Quaest. Arch. p. 93. 21. τῶν] scripsi; τον F, uulgo 22. δεύτερον] Torellius; β̄ F,

scripta; quod fieri non potest. nam dimidia parte maior est cono Ψ, et demonstratum est, figuram inscriptam maiorem esse cono Ψ. itaque dimidia pars sphaeroidis maior non est cono Ψ. sed ne minor quidem est. sit enim, si fieri potest, minor. rursus igitur in dimidia sphaeroidis parte inscribatur figura solida, et alia circumscribatur ex cylindris altitudinem aequalem habentibus composita, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam quo conus Ψ dimidiam sphaeroidis partem excedit, et cetera eadem, quae antea, construantur. iam quoniam figura inscripta segmento minor est, adparet, etiam figuram circumscriptam minorem esse cono Ψ. rursus igitur primus cylindrus totius cylindri axem habens ΘE ad primum cylindrum figurae circumscriptae axem habentem ΘE eandem rationem habet, quam primum quadratum ad se ipsum.[1]) secundus autem cylindrus totius cylindri axem habens $E\Pi$ ad secundum cylindrum figurae circumscriptae axem habentem $E\Pi$ eandem rationem habet, quam secundum quadratum ad gnomonem ab eo ablatum. et ceterorum etiam cylindrorum unusquisque eorum, qui in toto cylindro sunt axem habentes lineam lineae ΘE aequalem, ad cylindrum in figura circumscripta eodem loco positum et axem eundem habentem eam rationem habet, quam

1) Utraque enim utrisque aequalia sunt.

uulgo. 25. τάν] addidi; om. F, uulgo. 26. εγγεγραμμενω F; corr. Torellius. 27. καὶ ἄξονα ἔχοντα] scripsi; om. F, uulgo; καὶ ἔχοντα ἄξονα Torellius.

τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ὁμοίως τεταγμένον αὐτῷ τετράγωνον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. καὶ πάντες οὖν οἱ κυλίνδροι οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ ποτὶ πάντας τοὺς κυλίνδρους τοὺς ἐν τῷ περιγεγραμμένῳ σχήματι τὸν αὐτὸν ἑξοῦντι λόγον, ὃν πάντα τὰ τετράγωνα ποτὶ τὸ ἴσον τῷ πρώτῳ τετραγώνῳ καὶ τοῖς γνωμόνεσσι τοῖς ἀπὸ τῶν λοιπῶν τετραγώνων ἀφαιρημένοις. καὶ τὰ τετράγωνα πάντα ἐλάσσονά ἐντι ἢ ἡμιόλια τοῦ ἴσου τῷ τε πρώτῳ τετραγώνῳ καὶ τοῖς γνωμόνεσσιν τοῖς ἀπὸ τῶν λοιπῶν ἀφαιρημένοις, διότι τῶν τετραγώνων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας τετραγώνου μείζονά ἐντι ἢ τριπλάσια. ὁ ἄρα κύλινδρος ὁ βάσιν [μὲν] ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν ἐλάσσων ἢ ἡμιόλιός ἐστι τοῦ περιγεγραμμένου σχήματος· ὅπερ ἀδύνατον. τοῦ γὰρ Ψ κώνου ἡμιόλιός ἐστι, τὸ δὲ περιγεγραμμένον σχῆμα ἔλαττον ἐδείχθη τοῦ Ψ κώνου. οὐκ ἄρα ἐστὶν ἔλασσον τὸ ἡμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. ἐπεὶ δὲ οὔτε μεῖζόν ἐστιν οὐδὲ ἔλασσον, ἴσον ἄρα ἐστίν.

κη΄.

Καὶ τοίνυν εἴ κα τὸ σφαιροειδὲς μὴ ὀρθῷ ποτὶ τὸν ἄξονα τῷ ἐπιπέδῳ διὰ τοῦ κέντρου τμαθῇ, ὁμοίως τὸ ἁμίσεον τοῦ σφαιροειδέος διπλάσιον ἐσσεῖται τοῦ ἀποτμάματος τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν.

---

1. τὸν λόγον] scripsi; τόν om. F, uulgo. ὃν τό] Nizzius; om. F, uulgo. τεταγμένον] Nizzius; τεταγμενω F, uulgo. 2. τετράγωνον] Torellius; τετραγωνω F, uulgo. uidendum tamen, ne ferri possit: τὸν αὐτὸν ἔχει λόγον τῷ ὁμοίως τεταγμένῳ .. τετραγώνῳ. 10. γνωμονεσιν F. 11. τᾶν] των F; corr. Torellius. 12. χωρίς] χωρ cum comp. ης F. 14. μέν]

quadratum eodem loco positum ad gnomonem ab eo ablatum.[1]) itaque etiam omnes cylindri totius cylindri ad omnes cylindros figurae circumscriptae eandem habebunt rationem, quam omnia quadrata ad spatium aequale quadrato primo simul cum gnomonibus a reliquis quadratis ablatis [prop. 1]. et quadrata omnia minora sunt quam dimidia parte maiora spatio aequali primo quadrato simul cum gnomonibus a reliquis ablatis, quia quadratis linearum aequali differentia inter se excedentium praeter quadratum maximae maiora sunt quam triplo maiora. quare cylindrus basim habens eandem, quam segmentum, et eundem axem minor est quam dimidia parte maior figura circumscripta; quod fieri non potest. cono enim Ψ dimidia parte maior est, sed demonstratum est, figuram circumscriptam minorem esse cono Ψ. itaque dimidia pars sphaeroidis cono Ψ minor non est. quoniam igitur neque maior est neque minor, aequalis est.

XXVIII.

Sed etiam si sphaeroides plano ad axem non perpendiculari per centrum secatur, item dimidia pars sphaeroidis duplo maior erit segmento coni basim eandem habenti, quam segmentum, et eundem axem.[2])

1) Sint C_1 C_2 C_3 C_4 C_5 cylindri circumscripti, c_1 c_2 c_3 c_4 inscripti, K partes totius cylindri, Q_1 Q_2 Q_3 Q_4 Q_5 quadrata, g_2 g_3 g_4 g_5 gnomones. demonstratum est (p. 446, 6 sq.): $K : c_1 = Q_2 : g_2$, $K : c_2 = Q_3 : g_3$, $K : c_3 = Q_4 : g_4$, $K : c_4 = Q_5 : g_5$ (nam $Q_1 = Q_2$ cet.); sed $c_1 = C_2$, $c_2 = C_3$, $c_3 = C_4$, $c_4 = C_5$.

2) P. 284, 19: εἴ κα τῶν σφαιροειδέων τι ἐπιπέδῳ τμαθῇ

deleo. 19. τὸ ἡμίσεον] scripsi; του ημισεως F, vulgo; τὸ ἡμίσεον Torellius. 20. δέ] addidi; om. F, vulgo. μειζων F. οὐδέ] F; οὔτε vulgo. 21. λ' Torellius; om. F. 25. αποτμηματος F; corr. Torellius.

τετμάσθω γὰρ σχῆμα σφαιροειδές· τμαθέντος δὲ αὐτοῦ ἐπιπέδῳ ἄλλῳ διὰ τοῦ ἄξονος ὀρθῷ ποτὶ τὸ τέμνον ἐπίπεδον τοῦ μὲν σχήματος τομὰ ἔστω ἁ ΑΒΓΔ ὀξυγωνίου κώνου τομά, κέντρον δὲ αὐτᾶς τὸ Θ, τοῦ δὲ τετμακότος ἐπιπέδου τὸ σχῆμα ἔστω ἁ ΑΓ εὐθεῖα. ἐσσεῖται δὴ αὐτὰ διὰ τοῦ Θ ἀγομένα, ἐπεὶ τὸ ἐπίπεδον ὑπέκειτο διὰ τοῦ κέντρου ἄχθαι. ἐσσεῖται οὖν τις ὀξυγωνίου κώνου τομὰ περὶ διάμετρον τὰν ΑΓ, ἐπεὶ τὸ ἐπίπεδον τὸ ἀποτέμνον ὑπέκειτο οὐ ποτ' ὀρθὰς εἶμεν τῷ ἄξονι ἀγμένον. ἄχθων δή τινες αἱ ΚΛ, ΜΝ παρὰ τὰν ΑΓ ἐπιψαυοῦσαι τᾶς τοῦ ὀξυγωνίου κώνου τομᾶς κατὰ τὰ Β, Δ, ἀπὸ δὲ τᾶν ΚΛ, ΜΝ ἐπίπεδα ἀνεστακέτω παράλληλα τῷ κατὰ τὰν ΑΓ. ἐπιψαύοντι δὴ ταῦτα τοῦ σφαιροειδέος κατὰ τὰ Β, Δ, καὶ ἁ ΒΔ ἐπιζευχθεῖσα πεσεῖται διὰ τοῦ Θ, καὶ ἐσσοῦνται τῶν τμαμάτων κορυφαὶ μὲν τὰ Β, Δ σαμεῖα, ἄξονες δὲ αἱ ΒΘ, ΘΔ. δυνατὸν δή ἐστιν κύλινδρον εὑρεῖν ἄξονα ἔχοντα τὰν ΒΘ, οὗ ἐν τᾷ ἐπιφανείᾳ ἐσσεῖται ἁ τοῦ ὀξυγωνίου κώνου τομὰ ἁ περὶ διάμετρον τὰν ΑΓ. εὑρεθέντος δὲ ἐσσεῖται τις κυλίνδρου τόμος τὰν αὐτὰν βάσιν ἔχων τῷ ἡμισέῳ τοῦ σφαιροειδέος καὶ ἄξονα τὸν αὐτόν. πάλιν δὴ καὶ κῶνον εὑρεῖν δυνατόν ἐστι κορυφὰν ἔχοντα τὸ Β σαμεῖον, οὗ ἐν τᾷ ἐπιφανείᾳ ἐσσεῖται ἁ τοῦ ὀξυγωνίου κώνου τομὰ

---

1. σχῆμα] τμημα F; corr. ed. Basil.* 2. αξωνος F. 6. δή] δ' F; corr. Torellius. ἐπεί] επι F. 7. ἄχθαι] τετάχθαι Torellius. 10. ἄχθων] scripsi cum C; αχθω F, uulgo; ἄχθωσαν Nizzius cum VBD. 11. επιψαυουσαν FBC*. 13. τῷ] το F; corr. Torellius. 14. επιψαυωντι F. δή] scripsi; δε F, uulgo. κατὰ τὰ Β, Δ] om. F; corr. Torellius. 15. καὶ ἁ ΒΔ] scripsi; και τα Β, Δ F, uulgo. διά] δε δια F; corr. Torellius. 17. ΘΔ] ΘΑ FBC*. δή ἐστιν] scripsi; δε εστιν F, uulgo. 18. ευρ cum comp. ην uel ιν F, ut lin. 22. 20.

secetur enim figura sphaeroides. secta autem ea alio plano per axem posito ad secans planum perpendiculari figurae sectio sit *ΑΒΓΔ* coni acutianguli sectio [prop. 11, c], centrum autem eius punctum *Θ*, plani autem figuram secantis sectio sit linea *ΑΓ*. ea igitur per *Θ* ducta erit, quoniam suppositum est, planum per centrum ductum esse. erit igitur coni acutianguli sectio quaedam circum diametrum *ΑΓ* descripta, quoniam suppositum est, planum secans ad axem non perpendiculare ductum esse [prop. 14]. ducantur igitur lineae *ΚΛ*, *ΜΝ* lineae *ΑΓ* parallelae sectionem coni acutianguli contingentes in punctis *Β*, *Δ*, et in lineis *ΚΛ*, *ΜΝ* erigantur plana plano in linea *ΑΓ* posito parallela. ea igitur sphaeroides in punctis *Β*, *Δ* contingunt [prop. 16, b], et ducta linea *ΒΔ* per *Θ* punctum cadet [prop. 16, c], et uertices segmentorum erunt puncta *Β*, *Δ* [p. 282, 12], axes autem *ΒΘ*, *ΘΔ* [p. 282, 13]. potest igitur fieri, ut inueniatur cylindrus axem habens *ΒΘ*, in cuius superficie sit coni acutianguli sectio circum diametrum *ΑΓ* descripta [prop. 9]. eo autem inuento erit frustum quoddam cylindri eandem basim habens, quam dimidia pars sphaeroidis, et eundem axem. rursus igitur fieri potest, ut inueniatur conus uerticem habens punctum *Β*, in cuius superficie sit coni acutianguli sectio in

---

διὰ τοῦ κέντρου μὴ ὀρθῷ ποτὶ τὸν ἄξονα τῶν γεναμένων τμαμάτων ἑκάτερον διπλάσιον ἐσσεῖται τοῦ σχήματος τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν. γινέται δὲ τὸ σχῆμα ἀπότμαμα κώνου.

κυλινδρ supra scripta littera *ο* F; *κύλινδρος* CD. 21. *τῷ ἡμισέῳ*] scripsi; *του ημισους* F, uulgo*; *τοῦ ἁμίσεος* Torellius.

ἁ ἀπὸ διαμέτρου τᾶς $A\Gamma$. εὑρεθέντος δὲ ἐσσεῖται τι ἀπότμαμα κώνου τὰν αὐτὰν βάσιν ἔχον τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν. λέγω δή, ὅτι τοῦ σφαιροειδέος τὸ ἡμίσεον διπλάσιόν ἐστι τοῦ κώνου τούτου. ἔστω δὴ ὁ Ψ κῶνος διπλάσιος τοῦ ἀποτμάματος τοῦ κώνου. εἰ οὖν μή ἐστιν ἴσον τὸ ἡμίσεον τοῦ σφαιροειδέος τῷ Ψ κώνῳ, ἔστω πρῶτον, εἰ δυνατόν, μεῖζον. ἐνέγραψα δή τι εἰς τὸ ἡμίσεον τοῦ σφαιροειδέος σχῆμα στερεόν, καὶ ἄλλο περιέγραψα ἐκ κυλίνδρου τόμων ὕψος ἴσον ἐχόντων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἁλίκῳ ὑπερέχει τὸ ἁμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. ὁμοίως δὴ τοῖς πρότερον δειχθησέται τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ ἡμισέῳ τοῦ σφαιροειδέος μεῖζον ἐὸν τοῦ Ψ κώνου, καὶ ὁ τόμος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ

1. τι] scripsi; τὸ F, uulgo. 2. αποτμημα F, ut lin. 5; corr. Torellius. κώνου] om. F; corr. Torellius. 4. ἁμίσεον Torellius, ut lin. 6. τοῦ ἀποτμάματος τοῦ κώνου Nizzius. 7. ἐνέγραψα] scripsi cum VABD; ενεγραψω F; ἐγγεγράφθω ed. Basil., Torellius. 8. ἁμίσεον Torellius. 9. περιγεγράφθω ed. Basil., Torellius. 14. ἁμισέῳ Torellius. 15. τόμος τοῦ κυλίνδρου Commandinus, Torellius.

metro $A\Gamma$ descripta.[1] eo autem inuento erit segntum quoddam coni eandem basim habens, quam mentum [sphaeroidis], et eundem axem. dico igi, dimidiam sphaeroidis partem duplo maiorem esse cono. sit igitur conus Ψ duplo maior segmento i. itaque si dimidia pars sphaeroidis cono Ψ ualis non est, sit primum, si fieri potest, maior. cripsi igitur dimidiae parti sphaeroidis figuram soam, et aliam circumscripsi, ex frustis cylindrorum itudinem aequalem habentibus compositas, ita ut ura circumscripta excedat inscriptam spatio minore,

m quali excedit dimidia pars sphaeroidis conum [prop. 20]. itaque eodem modo, quo antea, denstrabimus, figuram dimidiae parti sphaeroidis inptam maiorem esse cono Ψ, et frustum basim ens eandem, quam segmentum, et eundem axem

1) Ex prop. 6; nam linea $B\Theta$ perpendicularis non est.

τμάματι καὶ ἄξονα τὸν αὐτὸν τοῦ μὲν Ψ κώνου ἡμιόλιος ἐών, τοῦ δὲ ἐγγεγραμμένου σχήματος ἐν τῷ ἡμισέῳ τοῦ σφαιροειδέος μείζων ἢ ἡμιόλιος· ὅπερ ἀδύνατον. οὐκ ἄρα μεῖζον τὸ ἡμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. εἰ δὲ ἔλασσόν ἐστι τὸ ἡμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου, ἐγγεγράφθω εἰς τὸ ἡμίσεον τοῦ σφαιροειδέος σχῆμα στερεόν, καὶ ἄλλο περιγεγράφθω ἐκ κυλίνδρων τόμων ὕψος ἴσον ἐχόντων συγκείμενον, ὥστε τὸ περιγραφὲν τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἁλίκῳ ὑπερέχει ὁ Ψ κῶνος τοῦ ἡμίσεος τοῦ σφαιροειδέος. πάλιν οὖν ὁμοίως τοῖς πρότερον δειχθησέται τὸ περιγεγραμμένον σχῆμα ἔλασσον ἐὸν τοῦ Ψ κώνου, καὶ ὁ τόμος τοῦ κυλίνδρου ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν τοῦ μὲν Ψ κώνου ἡμιόλιος ἐών, τοῦ δὲ περιγεγραμμένου σχήματος ἐλάσσων ἢ ἁμιόλιος· ὅπερ ἀδύνατον. οὐκ ἐσσεῖται οὖν οὐδὲ ἔλασσον τὸ ἥμισυ τοῦ σφαιροειδέος τοῦ Ψ κώνου. ἐπεὶ δὲ οὔτε μεῖζόν ἐστιν οὐδὲ ἔλασσον, ἴσον ἐστί. φανερὸν οὖν ἐστιν, ὃ ἔδει δεῖξαι.

κθ΄.

Παντὸς σχήματος σφαιροειδέος ἐπιπέδῳ τμαθέντος μὴ διὰ τοῦ κέντρου ὀρθῷ ποτὶ τὸν ἄξονα, τὸ ἔλαττον τμᾶμα ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν τοῦτον ἔχει τὸν λόγον, ὃν ἁ ἴσα συναμφοτέραις τᾷ τε ἡμισέᾳ

---

2. *τῷ ἡμισέῳ*] scripsi; *ημισεως* F, uulgo; *ἡμισέῳ* B, *ἁμισέῳ* Torellius. 4. *ἄρα μεῖζον*] scripsi; *εσται ουν* F, uulgo; *ἔσται οὖν μεῖζον* Commandinus, Torellius. *ἁμίσεον* Torellius. 5. *εἰ δὲ ἔλασσόν ἐστι τὸ ἡμίσεον τοῦ σφαιροειδέος τοῦ Ψ κώνου*] scripsi; om. F, uulgo; *εἰ δὲ ἔλασσόν ἐστιν* Comman-

dimidia parte maius esse cono Ψ, maius autem quam dimidia parte maius figura dimidiae parti sphaeroidis inscripta; quod fieri non potest. itaque dimidia pars sphaeroidis maior non est cono Ψ. sin minor est dimidia pars sphaeroidis cono Ψ, inscribatur dimidiae parti sphaeroidis figura solida, et alia circumscribatur ex frustis cylindrorum altitudinem aequalem habentibus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam quali excedit conus Ψ dimidiam partem sphaeroidis [prop. 20]. rursus igitur eodem modo, quo antea, demonstrabimus, figuram circumscriptam minorem esse cono Ψ, et frustum cylindri basim habens eandem, quam segmentum, et eundem axem dimidia parte maius esse cono Ψ, minus autem quam dimidia parte maius figura circumscripta; quod fieri non potest. quare dimidia pars sphaeroidis ne minor quidem erit cono Ψ. quoniam autem neque maior est neque minor, aequalis est. constat igitur, quod demonstrandum erat.

XXIX.

Quauis figura sphaeroide plano secta per centrum non posito, sed ad axem perpendiculari, minus segmentum ad conum eandem basim habentem, quam segmentum, et eundem axem eam habet rationem,

---

dians, Torellius. 6. εγγραφθω F. εἰς τὸ ἡμίσεον .... περιγεγράφθω ἐκ lin. 8 om. F; corr. Commandinus. 8. κυλίνδρου Commandinus. 11. ἡμίσεος] scripsi; ημισους F, uulgo; ἡμίσους Torellius. 17. τό] του (comp.) F; corr. BC*. 18. μειζων F. 21. λα΄ Torellius; om. F. 26. ὅν] addidit Torellius; om. F, uulgo. ἴσα συναμφοτέραις] scripsi; ἁ συναμφοτερα F, uulgo; ἁ om. Torellius. τε] om. F; corr. Torellius. ἁμίσεα idem.

τοῦ ἄξονος τοῦ σφαιροειδέος καὶ τῷ ἄξονι τοῦ μείζονος τμάματος ποτὶ τὸν ἄξονα τὸν τοῦ μείζονος τμάματος.

ἔστω γάρ τι τμᾶμα σφαιροειδέος σχήματος ἀποτετμαμένον ἐπιπέδῳ ὀρθῷ ποτὶ τὸν ἄξονα μὴ διὰ τοῦ κέντρου. τμαθέντος δὲ αὐτοῦ ἐπιπέδῳ ἄλλῳ διὰ τοῦ ἄξονος τοῦ μὲν σχήματος τομὰ ἔστω ἁ $AB\Gamma$ ὀξυγωνίου κώνου τομά, διάμετρος δὲ τᾶς τομᾶς καὶ ἄξων τοῦ σφαιροειδέος ἔστω ἁ BZ, κέντρον δὲ τὸ Θ, τοῦ δὲ ἐπιπέδου τοῦ ἀποτέμνοντος τὸ τμᾶμα τομὰ ἔστω ἁ $\Delta\Gamma$ εὐθεῖα. ποιήσει δὲ αὐτὰ ὀρθὰς γωνίας ποτὶ τὰν BZ, ἐπεὶ τὸ ἐπίπεδον ὀρθὸν εἶμεν ποτὶ τὸν ἄξονα ὑπέκειτο. ἔστω δὲ τὸ τμᾶμα τὸ ἀποτετμαμένον, οὗ κορυφὰ τὸ B σαμεῖον, ἔλασσον ἢ ἁμίσεον τοῦ σφαιροειδέος σχήματος, καὶ τᾷ $B\Theta$ ἴσα ἔστω ἁ ZH. δεικτέον, ὅτι τὸ τμᾶμα, οὗ κορυφὰ τὸ B σαμεῖον, ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν τοῦτον ἔχει τὸν λόγον, ὃν ἁ ΔH ποτὶ τὰν ΔZ.

ἔστω δὴ κύλινδρος τὰν αὐτὰν βάσιν ἔχων τῷ ἐλάσσονι τμάματι καὶ ἄξονα τὸν αὐτόν. ἔστω δὲ καὶ κῶνος, ἐν ᾧ τὸ Ψ, ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τοῦτον ἔχων τὸν λόγον, ὃν ἔχει ἁ ΔH ποτὶ τὰν ΔZ. φαμὶ δὴ τὸν Ψ κῶνον ἴσον εἶμεν τῷ τμάματι τῷ κορυφὰν ἔχοντι τὸ B σαμεῖον. εἰ γὰρ μή ἐστιν ἴσος, ἔστω πρῶτον, εἰ δυνατόν, ἐλάσσων.

1. τῷ ἄξονι] scripsi; ὁ αξων F, uulgo. 3. σχήματος] τμηματος F; corr. ed. Basil. αποτετμημενον F, ut lin. 12; corr. Torellius. 9. τμᾶμα] τ supra manu 1 F. 11. εἶναι per comp. F; corr. Torellius. 13. ἁμίσεον] scripsi; αμισους F, uulgo. φαιροειδεος F. 14. ἁ ZH] του AZH F; corr. B.* 18. τάν] τα F; corr. AB. 19. δή] scripsi; δε F, uulgo. 21. τό] τω F. 22. αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν Nizzius, fortasse recte.


am linea utrique aequalis, et dimidio axi sphaeidis et axi segmenti maioris, ad axem segmenti ioris.[1])

sit enim segmentum aliquod figurae sphaeroidis no ad axem perpendiculari non per centrum absum. secto autem eo alio plano per axem posito rae sectio sit $AB\Gamma$ coni acutianguli sectio [prop. c], diametrus autem sectionis et axis sphaeroidis linea BZ, centrum autem Θ; plani autem segmenta abscindentis sectio sit linea $A\Gamma$. ea igitur cum rectos angulos faciet, quoniam suppositum est, num ad axem perpendiculare esse [Eucl. XI, 18; def. 4]. sit autem segmentum abscisum, cuius uer sit B punctum, minus quam dimidium sphaeroidis, sit $ZH = B\Theta$. demonstrandum, segmentum, cuius rtex sit B, ad conum eandem basim habentem, am segmentum, et eundem axem eam habere ration, quam $\varDelta H : \varDelta Z$.

sit igitur cylindrus eandem basim habens, quam gmentum minus, et eundem axem. sit autem etiam nus, in quo sit littera Ψ, ad conum eandem basim bentem [quam segmentum, et eundem axem] eam bens rationem, quam $\varDelta H : \varDelta Z$. dico igitur, conum aequalem esse segmento uerticem habenti punctum nam si aequalis non est, sit primum, si fieri potest, inor. inscripsi igitur segmento figuram solidam, et


1) P. 284, 6: εἰ δέ κα ὀρθῷ μὲν ποτὶ τὸν ἄξονα τῷ ἐπιδῳ τμαθῇ, μὴ διὰ τοῦ κέντρου δέ, τῶν γεναμένων τμαμάτων μὲν μεῖζον κτλ., τὸ δὲ ἔλασσον τμᾶμα ποτὶ τὸν κῶνον τὸν ισιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν τοῦν ἔχει τὸν λόγον, ὃν ἁ συναμφοτέραις ἴσα τᾷ τε ἡμισέᾳ τᾶς θείας, ἅ ἐστιν ἄξων τοῦ σφαιροειδέος κτλ., ut lin. 1—2.

ἐνέγραψα δὴ εἰς τὸ τμᾶμα σχῆμα στερεόν, καὶ ἄλλο περιέγραψα ἐκ κυλίνδρων ὕψος ἴσον ἐχόντων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος ὑπερέχειν ἐλάσσονι, ἢ ἁλίκῳ μεῖζόν ἐστι τὸ τοῦ σφαιροειδέος τμᾶμα τοῦ Ψ κώνου. ἐπεὶ οὖν μεῖζον ἐὸν τὸ περιγεγραμμένον σχῆμα τοῦ τμάματος ἐλάσσονι ὑπερέχει τοῦ ἐγγεγραμμένου, ἢ τὸ τμᾶμα τοῦ κώνου, δῆλον, ὅτι μεῖζόν ἐστι καὶ τὸ ἐγγεγραμμένον σχῆμα τοῦ Ψ κώνου. ἔστω δὴ τρίτον μέρος τᾶς ΒΔ ἁ ΒΡ. ἐπεὶ οὖν ἁ μὲν ΒΗ τριπλασία ἐστὶν τᾶς ΒΘ, ἁ δὲ ΒΔ τᾶς ΒΡ, δῆλον, ὅτι τριπλασία ἐστὶν ἁ ΔΗ τᾶς ΘΡ. ἔχει δὴ ὁ μὲν κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν ΒΔ ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν καὶ ἄξονα τὸν αὐτὸν τοῦτον τὸν λόγον, ὃν ἔχει ἁ ΔΗ ποτὶ τὰν ΘΡ. ὁ δὲ κῶνος ὁ εἰρημένος ποτὶ τὸν Ψ κῶνον τὸν αὐτὸν λόγον ἔχει, ὃν ἁ ΔΖ ποτὶ τὰν ΔΗ. ἕξει οὖν ἀνομοίως τῶν λό-



1. ἐγγεγράφθω Nizzius. 2. περιγεγράφθω idem. 10. ἐλάσσονι] scripsi cum Nizzio; ελασσον F, uulgo. 18. ἐστίν]

aliam circumscripsi ex cylindris altitudinem aequalem habentibus compositas, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam quali segmentum sphaeroidis maius est cono Ψ [prop. 19]. iam



quoniam figura circumscripta, quae segmento maior est, excedit figuram inscriptam spatio minore, quam quo segmentum conum excedit, adparet, etiam figuram inscriptam maiorem esse cono Ψ. sit igitur

$$BP = \frac{1}{3} B\varDelta.$$

iam quoniam $BH = 3\, B\Theta$, et $B\varDelta = 3\, BP$, adparet, esse $\varDelta H = 3\, \Theta P$. itaque cylindrus basim habens eandem, quam segmentum, et axem $B\varDelta$ ad conum eandem basim habentem et eundem axem eam rationem habet, quam $\varDelta H : \Theta P$ [Eucl. XII, 10]. conus autem, quem commemorauimus, ad conum Ψ eandem rationem habet, quam $\varDelta Z : \varDelta H$. itaque cum perturbata sit

---

comp. F. τᾶς $B\Theta$, ἁ δὲ $B\varDelta$ τᾶς BP, δῆλον, ὅτι τριπλασία ἐστίν] scripsi; om. F, uulgo; τᾶς $B\Theta$, καὶ ἁ $B\varDelta$ τᾶς BP, τριπλασία ἔσται καί ed. Basil., Torellius. 24. ποτί] προς per comp. F; corr. Torellius. 26. τουτον εχει τον F; corr. Torellius. 29. $\varDelta Z$] $\varDelta H$ F; corr. B. $\varDelta H$] $\varDelta Z$ F; corr. B.

γων τεταγμένων ὁ κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν ποτὶ τὸν Ψ κῶνον τὸν αὐτὸν λόγον, ὃν ἁ ΔΖ ποτὶ τὰν ΘΡ. ἔστων δὴ γραμμαὶ κειμέναι, ἐφ' ἆν τὰ Ξ, Ν, τῷ μὲν πλήθει ἴσαι τοῖς τμαμάτεσσιν τοῖς τᾶς ΒΔ, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ ΖΔ. ἔστω δὲ καὶ τᾶν ΞΟ ἑκάστα ἴσα τᾷ ΒΔ. τᾶν οὖν ΝΟ ἑκάστα διπλασία ἐσσεῖται τᾶς ΘΔ. παραπεπτωκέτω δὴ παρ' ἑκάσταν αὐτᾶν χωρίον τι πλάτος ἔχον ἴσον τᾷ ΒΔ, ὥστε εἶμεν ἕκαστον τῶν ἐχόντων τὰς διαμέτρους τετράγωνον. ἀφαιρήσθω δὴ ἀπὸ μὲν τοῦ πρώτου γνώμων πλάτος ἔχων ἴσον τᾷ ΒΕ, ἀπὸ δὲ τοῦ δευτέρου πλάτος ἔχων ἴσον τᾷ ΒΧ. καὶ ἐφ' ἑκάστου τὸν αὐτὸν τρόπον εἷς ἀπὸ τοῦ ἑπομένου χωρίου γνώμων ἀφαιρήσθω πλάτος ἔχων ἑνὶ τμάματι ἔλασσον τοῦ πλάτεος τοῦ πρὸ αὐτοῦ γνώμονος ἀφαιρημένου. ἐσσεῖται δὴ ὁ μὲν ἀπὸ τοῦ πρώτου χωρίου γνώμων ἀφαιρημένος ἴσος τῷ περιεχομένῳ ὑπὸ τᾶν ΒΕ, ΕΖ, καὶ τὸ λοιπὸν χωρίον παραπεπτωκὸς παρὰ τὰν ΝΟ ὑπερβάλλον εἴδει τετραγώνῳ τὰν τοῦ ὑπερβλήματος πλευρὰν ἔχον ἴσαν τᾷ ΔΕ, ὁ δὲ ἀπὸ τοῦ δευτέρου χωρίου γνώμων ἀφαιρημένος ἴσος τῷ περιεχομένῳ ὑπὸ τᾶν ΖΧ, ΧΒ, καὶ τὸ λοιπὸν χωρίον παρὰ τὰν ΝΟ παραπεπτωκὸς ὑπερβάλλον εἴδει τετραγώνῳ· καὶ τὰ λοιπὰ ὁμοίως τούτοις ἑξοῦντι. διάχθω δὲ τὰ ἐπίπεδα πάντων τῶν κυλίνδρων, ἐξ ὧν συγκεῖται τὸ

2. τὸν Ψ] το Ψ F. 3. ἔστων] C; εστω per comp. F; ἔστωσαν uulgo. 5. τᾶς] scripsi cum B; τα F, uulgo; ἐν τᾷ ed. Basil., Torellius. 6. ΞΟ] ΞΘ F. 7. τᾶν] τα F; corr. BC. 11. τᾷ] ταν F. 12. ἐφ'] scripsi; αφ' F, uulgo. 14. ἑνί] εν F, corr. Torellius. 19. ΝΟ] Θ F; corr. ed. Basil. 20. ἔχον] scripsi; εχων F, uulgo. 24. διάχθω δέ] scripsi; δε ωδε F, uulgo; δὲ ᾧδε ἐκβεβλήσθω Torellius. 25. τό] scripsi; το τε F, uulgo.

:oportio [Eucl. V def. 20], cylindrus basim habens ındem, quam segmentum, et eundem axem ad conum ! eandem habebit rationem, quam $\Delta Z : \Theta P$. sint itur lineae quaedam positae, in quibus sint puncta , N, numero partibus lineae $B\Delta$ aequales, magnitune autem singulae lineae $Z\Delta$ aequales. sint autem iam lineae ΞO singulae aequales lineae $B\Delta$. itaque ieae NO singulae erunt $2\,\Theta\Delta$.[1]) adplicetur igitur iicuique harum linearum spatium latitudinem hams lineae $B\Delta$ aequalem, ita ut unaquaeque figurum diametros habentium quadratum sit. aufetur igitur a primo [spatio] gnomon latitudinem ibens lineae BE aequalem, a secundo autem gnoon latitudinem habens lineae BX aequalem. et : unoquoque [spatio] eodem modo gnomon ab spatio quenti auferatur latitudinem habens una parte minom latitudine gnomonis ante eum ablati. erit igitur iomon a primo spatio ablatum aequalis rectangulo $E \times EZ$[2]), et reliquum erit spatium lineae NO iplicatum excedens figura quadrata et latus excessus ieae ΔE aequale habens. gnomon autem a secundo atio ablatus erit $= ZX \times XB$, et reliquum erit atium lineae NO adplicatum figura quadrata exdens[3]), et cetera eodem modo se habebunt. produntur autem plana omnium cylindrorum, ex quibus

1) Nam
$NO = \Xi N - \Xi O = Z\Delta - B\Delta = \Theta\Delta + B\Theta - B\Delta = 2\,\Theta\Delta$.

2) Nam gnomon $= Z\Delta \times B\Delta - E\Delta \times (Z\Delta - BE)$
$= Z\Delta \times (B\Delta - E\Delta) + BE \times E\Delta = Z\Delta \times BE + BE \times E\Delta$
$= BE \times (Z\Delta + E\Delta) = BE \times EZ$.

3) Cuius latus erit $2\,\Delta E$.

ἐγγεγραμμένον σχῆμα ἐν τῷ τμάματι, ποτὶ τὰν ἐπιφάνειαν τοῦ κυλίνδρου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτόν. ἐσσεῖται δὴ ὁ ὅλος κύλινδρος διαιρημένος εἰς κυλίνδρους τῷ μὲν πλήθει ἴσους τοῖς ἐν τῷ περιγεγραμμένῳ σχήματι, τῷ δὲ μεγέθει ἴσους τῷ μεγίστῳ αὐτῶν. ὁ δὲ πρῶτος κύλινδρος τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ὁ ἔχων ἄξονα τὰν ΔΕ ποτὶ τὸν πρῶτον κύλινδρον τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι τὸν ἔχοντα ἄξονα τὰν ΔΕ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΔΓ ποτὶ τὸ ἀπὸ τᾶς ΚΕ. οὗτος δέ ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει τὸ ὑπὸ τᾶν ΒΔ, ΔΖ περιεχόμενον ποτὶ τὸ ὑπὸ τᾶν ΒΕ, ΕΖ. ἔχει οὖν ὁ κύλινδρος ποτὶ τὸν κύλινδρον τὸν αὐτὸν λόγον, ὃν τὸ πρῶτον χωρίον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. ὁμοίως δὲ καὶ τῶν ἄλλων κυλίνδρων τῶν ἐν τῷ ὅλῳ κυλίνδρῳ ἕκαστος ἄξονα ἔχων τὰν ἴσαν τᾷ ΔΕ ποτὶ τὸν κατ' αὐτὸν κύλινδρον τὸν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι ἄξονα ἔχοντα τὸν αὐτὸν τοῦτον ἕξει τὸν λόγον, ὃν τὸ ὁμοίως τεταγμένον αὐτῷ χωρίον ποτὶ τὸν γνώμονα τὸν ἀπ' αὐτοῦ ἀφαιρημένον. ἐντὶ οὖν μεγέθεά τινα οἱ κύλινδροι οἱ ἐν τῷ ὅλῳ κυλίνδρῳ καὶ ἄλλα μεγέθεα τὰ χωρία τὰ παρὰ τὰς ΞΝ παραπεπτωκότα πλάτος ἔχοντα τὰν ἴσαν τᾷ ΒΔ, τῷ δὲ πλήθει ἴσα τοῖς κυλίνδροις καὶ κατὰ δύο τὸν αὐτὸν ἔχοντα λόγον. λεγόνται δὲ οἵ τε κύλινδροι ποτ' ἄλλους κυλίνδρους τοὺς ἐν τῷ ἐγγεγραμμένῳ σχήματι, ὁ δὲ ἔσχατος οὐδὲ ποθ' ἓν λεγέται, καὶ τὰ χωρία ποτ' ἄλλα χωρία, τοὺς ἀπ'

5. τοῖς] τους F; corr. BC*. 6. κύλινδρος] scripsi; ὁ κύλινδρος F, uulgo. 8. τῶν] τον F; corr. B. 10. ΔΓ] ΔΕ F; corr. ed. Basil.* 17. κατ' αὐτόν] κατατον F supra scripto υ

composita est figura segmento inscripta, ad superficiem cylindri basim habentis eandem, quam segmentum, et eundem axem. totus igitur cylindrus diuisus erit in cylindros numero cylindris figurae circumscriptae aequales, magnitudine autem maximo eorum aequales. primus autem cylindrus totius cylindri axem habens ΔE ad primum cylindrum figurae inscriptae axem habentem ΔE eandem habet rationem, quam $\Delta\Gamma^2 : KE^2$ [Eucl. XII, 11; XII, 2], quae eadem est, quam habet $B\Delta \times \Delta Z : BE \times EZ$ [Apollon. I, 21; cfr. supra p. 447 not. 1]. itaque cylindrus ad cylindrum eandem rationem habet, quam primum spatium ad gnomonem ab eo ablatum. et eodem modo ceterorum cylindrorum totius cylindri unusquisque axem habens lineam lineae ΔE aequalem ad cylindrum in figura inscripta eodem loco positum et eundem axem habentem eam rationem habet, quam spatium eodem loco positum ad gnomonem ab eo ablatum. sunt igitur magnitudines quaedam, cylindri totius cylindri, et aliae magnitudines, spatia lineis ΞN adplicata latitudinem habentia lineam lineae $B\Delta$ aequalem, numero cylindris aequales et binae cum binis in eadem proportione.[1]) praeterea et cylindri cum aliis cylindris, qui in figura inscripta sunt, in proportione sunt, ultimus autem in nulla proportione, et spatia cum aliis spatiis, [gnomonibus] ab iis ablatis, respondentia in iisdem pro-

1) Quia cylindri cylindris, spatia spatiis aequalia sunt.

manu 2; corr. B. 19. εχωντα F. ὄν] om. F, corr. A. 20. τεταγμένον] α supra manu 1 F. 22. τὰ χωρία τά] scripsi; χωρια F, uulgo. 23. τάς] scripsi; ταν F, uulgo. 27. ποθ' ἓν] scripsi; ποθέν uulgo, ut p. 468 lin. 2.

αὐτῶν ἀφαιρημένους, τὰ ὁμόλογα ἐν τοῖς αὐτοῖς λόγοις, τὸ δὲ ἔσχατον χωρίον οὐδὲ ποθ' ἓν λεγέται. δῆλον οὖν, ὅτι καὶ πάντες οἱ κυλίνδροι ποτὶ πάντας τοὺς ἑτέρους τὸν αὐτὸν ἑξοῦντι λόγον, ὃν πάντα τὰ χωρία ποτὶ πάντας τοὺς γνωμόνας. ὁ ἄρα κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν ποτὶ τὸ σχῆμα τὸ ἐγγεγραμμένον ἐν τῷ τμάματι τὸν αὐτὸν ἕξει λόγον, ὃν πάντα τὰ χωρία ποτὶ πάντας τοὺς γνωμόνας. καὶ ἐπεὶ ἐντί τινες γραμμαὶ ἴσαι κειμέναι, ἐφ' ἆν τὰ N, O, καὶ παρ' ἑκάσταν παραπέπτωκέν τι χωρίον ὑπερβάλλον εἴδει τετραγώνῳ, αἱ δὲ πλευραὶ τῶν ὑπερβλημάτων τῷ ἴσῳ ἀλλάλαν ὑπερέχοντι, καὶ ἁ ὑπεροχὰ ἴσα ἐστὶ τᾷ ἐλαχίστᾳ, καὶ ἄλλα ἐντὶ χωρία παρὰ τὰς ΞN παραπεπτωκότα, πλάτος δὲ ἔχοντα ἴσον τᾷ $B\Delta$ τῷ μὲν πλήθει ἴσα τούτοις, τῷ δὲ μεγέθει ἕκαστον ἴσον τῷ μεγίστῳ, δῆλον, ὡς σύμπαντα τὰ χωρία, ὧν ἐστιν ἕκαστον ἴσον τῷ μεγίστῳ, ποτὶ πάντα τὰ ἕτερα χωρία ἐλάσσω λόγον ἔχοντι τοῦ, ὃν ἔχει ἁ ΞN ποτὶ τὰν ἴσαν συναμφοτέρᾳ τᾷ τε ἡμισέᾳ τᾶς NO καὶ τῷ τρίτῳ μέρει τᾶς ΞO. φανερὸν οὖν, ὅτι τὰ αὐτὰ χωρία ποτὶ πάντας τοὺς γνωμόνας μείζονα λόγον ἑξοῦντι τοῦ, ὃν ἔχει ἁ ΞN ποτὶ τὰν ἴσαν συναμφοτέραις τᾷ τε ἡμισέᾳ τᾶς NO καὶ δυοῖς τριταμορίοις τᾶς ΞO. ὁ ἄρα κύλινδρος ὁ βάσιν ἔχων τὰν αὐτὰν τῷ τμάματι καὶ ἄξονα τὸν αὐτὸν ποτὶ τὸ σχῆμα τὸ ἐγγεγραμμένον ἐν τῷ τμάματι μείζονα λόγον

6. καὶ ἄξονα ad ἐν τῷ τμάματι lin. 7 bis F, sed alterum expunxit manus, ut uidetur, prima. 12. τῷ] addidi; om. F, uulgo. 14. τάς] scripsi; ταν F, uulgo. ΞN] ΞO Torellius. 15. ἴσον] ισας F per comp., uulgo; ἴσαν C; corr. Torellius; fort. τὰς ἴσας. 19. συναμφοτέραις Torellius. 24 τᾶς] τα F; corr. B*.

portionibus, ultimum autem spatium in nulla proportione.[1]) adparet igitur, etiam omnes cylindros ad omnes alteros eandem rationem habituros esse, quam omnia spatia ad omnes gnomones [prop. 1]. itaque cylindrus basim habens eandem, quam segmentum, et eundem axem ad figuram segmento inscriptam eandem rationem habebit, quam omnia spatia ad omnes gnomones. et quoniam positae sunt lineae quaedam aequales, in quibus sunt litterae N, O, et singulis adplicatum est spatium figura quadrata excedens, latera autem excessuum aequali differentia inter se excedunt, et differentia minimo aequalis est, et alia spatia sunt, quae lineis ΞN adplicata sunt, latitudinem habentia lineae $B\Delta$ aequalem et numero illis[2]) aequalia, magnitudine autem singula maximo aequalia, adparet, omnia simul spatia, quorum quodque maximo aequale est, ad omnia altera spatia minorem rationem habere, quam $\Xi N : \frac{1}{2} NO + \frac{1}{3} \Xi O$ [prop. 2]. itaque manifestum est, eadem spatia ad omnes gnomones maiorem rationem habitura esse, quam $\Xi N : \frac{1}{2} NO + \frac{2}{3} \Xi O$.[3]) itaque cylindrus basim habens eandem, quam segmentum, et eundem axem ad figuram segmento inscriptam maiorem rationem habet, quam $\Xi N : \frac{1}{2} NO + \frac{2}{3} \Xi O$.

---

1) Quia a spatio ultimo nullus gnomon ablatus est.

2) Spatiis, quae lineis NO adplicata sunt.

3) Sit summa spatiorum $\Xi N = s_1$, summa spatiorum

$$NO = s_2,$$

summa gnomonum $= s_3$ $(s_3 = s_1 - s_2)$; erit

$$s_1 : s_2 < \Xi N : \frac{1}{2} NO + \frac{1}{3} \Xi O.$$

